450. ἔφυρον εἰκῇ: cp. Eur. *Suppl.* 201 *αἰνῶ θ' ὃς ἡμῖν βίοτον ἐκ πεφυρμένου καὶ θηριώδους θεῶν διεσταθμήσατο*, and the passage of a tragedy preserved Stob. *Ecl. Phys.* i. 1 *ἔπειτα πάσης Ἑλλάδος καὶ συμμάχων βίον διῴκησ' ὄντα πρὶν πεφυρμένον θηρσίν θ' ὅμοιον· πρῶτα μὲν τὸν πάνσοφον ἀριθμὸν ηὕρηκ' ἔξοχον σοφισμάτων* (cp. 459), and finally the long description of the primitive condition of mankind in Lucret. v. 951 ff. — **οὔτε . . . οὐ**: cp. 479; *Cho.* 291 *οὔτε κρατῆρος μέρος εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός*, Soph. *Ant.* 249 *οὔτε του γενῇδος ἦν πλῆγμ', οὐ δικέλλης ἐκβολή*, *O. C.* 972 *οὔτε βλάστας πω γενεθλίου πατρός, οὐ μητρός εἶχον*, Eur. *Or.* 46 *ἔδοξε δ' Ἄργει τῷδε μήθ' ἡμᾶς στέγαις, μὴ πυρὶ δέχεσθαι μήτε προσφωνεῖν τινα*, *Tro.* 934, Frg. 326. — **πλινθυφεῖς**: l a t e r i b u s   c o n t e x t o s. The word is found only here.

451. προσείλους: compound of *εἵλη*, *sun's warmth.* Cp. *προσήλιος, ἀντήλιος.* — **ᾖσαν**: on the Attic form (from *οἶδα*) see G. 127 vii; H. 491.

452. ἀήσυροι: a g i l e s,   a l a c r i t e r   d i s c u r r e n t e s (Schütz), that is, *swarming.* Root *αε-* (*ἄημι*), with added *σ*.

453. Cp. Hom. *Hymn* xx. 1 *Ἥφαιστον . . . ὃς μετ' Ἀθηναίης γλαυκώπιδος ἀγλαὰ ἔργα ἀνθρώπους ἐδίδαξεν ἐπὶ χθονός, οἳ τὸ πάρος περ ἄντροις ναιετάασκον*

ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ
οὔτ' ἀνθεμώδους ἦρος οὔτε καρπίμου
θέρους βέβαιον, ἀλλ' ἄτερ γνώμης τὸ πᾶν
ἔπρασσον, ἔς τε δή σφιν ἀντολὰς ἐγὼ
ἄστρων ἔδειξα τάς τε δυσκρίτους δύσεις.
καὶ μὴν ἀριθμόν, ἔξοχον σοφισμάτων,
ἐξηῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις,
μνήμην ἁπάντων, μουσομήτορ' ἐργάνην.
κἄζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα,
ζεύγλαισι δουλεύοντα σάγμασίν θ' ὅπως
θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων
γένοινθ', ὑφ' ἅρμα τ' ἤγαγον φιληνίους

ἐν οὔρεσιν ἠΰτε θῆρες. νῦν δὲ . . . εὔκηλοι διάγουσιν ἐνὶ σφετέροισι δόμοισιν.

457. **σφίν**: see on 252.

458. **δυσκρίτους**: belongs with ἀντολάς as well as δύσεις. 'Words common to two members of a sentence, the poets like to put in the second member, to give it greater weight and to bind the whole together. Cp. *El.* 105 ἔστ' ἂν παμφεγγεῖς ἄστρων ῥιπάς, λεύσσω δὲ τόδ' ἦμαρ, 929 ἡδὺς οὐδὲ μητρὶ δυσχερής, *O. C.* 1399 οἴμοι κελεύθου τῆς τ' ἐμῆς δυσπραξίας, Aesch. *Ag.* 589 φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν, *Eum.* 9 λιπὼν δὲ λίμνην Δηλίαν τε χοιράδα.' So Schneidewin on Soph. *O. T.* 802 (κῆρύξ τε κἀπὶ πωλικῆς ἀνὴρ ἀπήνης ἐμβεβώς). See on 21, and 1015 below; also *Cho.* 206 στίβοι ποδῶν ὅμοιοι τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς, Eur. *Heracl.* 158 εἰς γόους τε καὶ τὰ τῶνδ' οἰκτίσματα βλέψας, *Med.* 1366 ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι. — As an example of a δύσκριτος δύσις the scholiast cites, οἷον Ὠρίων ὅτε δύων χειμῶνα ποιεῖ.

459 f. **καὶ μήν**: *nay even.* See on 246. — **ἀριθμὸν . . . γραμμάτων τε συνθέσεις**: the invention of architecture, astronomy, arithmetic, and letters is elsewhere ascribed to Palamedes. Cp. Soph. Frg. 379 οὗτος (Παλαμήδης) δ' ἐφηῦρε τεῖχος Ἀργείων στρατῷ, σταθμῶν τ' ἀριθμῶν καὶ μέτρων εὑρήματα . . . , ἐφηῦρε δ' ἄστρων μέτρα καὶ περιστροφάς, Eur. Frg. 582 τὰ τῆς γε λήθης φάρμακ' ὀρθώσας μόνος, ἄφωνα καὶ φωνοῦντα συλλαβάς τε θεὶς ἐξηῦρον ἀνθρώποισι γράμματ' εἰδέναι.

461. **μουσομήτορα**: cp. Hesiod *Theog.* 52 Μοῦσαι Ὀλυμπιάδες κοῦραι Διὸς αἰγιόχοιο, τὰς ἐν Πιερίῃ τέκε Μνημοσύνη. Memory, instead of being called simply ἐργάτις Μουσῶν, is more picturesquely described as ἐργάνη μουσομήτωρ. See also on 241.

463. **ζεύγλαισι δουλεύοντα σάγμασίν τε**: so in Latin iugalia and clitellaria iumenta are distinguished. For ζεύγλαισι δουλεύοντα cp. 968, Soph. *O. C.* 105 μόχθοις λατρεύων τοῖς ὑπερτάτοις.

464. **διάδοχοι**: cp. 1027 and Frg. IV. of the Προμηθεὺς λυόμενος below.

465. **φιληνίους**: cp. Pind. *Pyth.* ii. 21 ἅρματα πεισιχάλινα. Here proleptic.

ἵππους, ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς.
θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ
λινόπτερ' ηὗρε ναυτίλων ὀχήματα.

τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας
βροτοῖσιν αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτῳ
τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ.

ΧΟΡΟΣ.

πέπονθας αἰκὲς πῆμ'· ἀποσφαλεὶς φρενῶν
πλανᾷ, κακὸς δ' ἰατρὸς ὥς τις ἐς νόσον

466. ἄγαλμα . . . χλιδῆς: the passion for fine horses was very strong at Athens, and led to much extravagance. In Thuc. vi. 16, Alcibiades takes credit for the splendor of the Olympian *θεωρία* '*διότι ἅρματα μὲν ἑπτὰ καθῆκα, ὅσα οὐδεὶς πω ἰδιώτης πρότερον.*' Cp. Hdt. vi. 35 *Μιλτιάδης ἐὼν οἰκίης τεθριπποτρόφου*, [Dem.] XLII. 24 *ἱπποτρόφος ἀγαθός ἐστι* (*sc.* *Φαίνιππος*) *καὶ φιλότιμος ἅτε νέος καὶ πλούσιος καὶ ἰσχυρὸς ὤν*, and especially the beginning of Aristophanes's *Clouds*.

467. ἄλλος ἀντ' ἐμοῦ: cp. Soph. *O. C.* 488 *κεἴ τις ἄλλος ἀντὶ σοῦ*, *Ai.* 444 *ἄλλος ἀντ' ἐμοῦ*, Eur. *H. F.* 519 *ἄλλος ἀντὶ σοῦ παιδός*, *Hel.* 574 *οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.* Also Eur. *Suppl.* 419 *ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους κρείσσω τίθησιν.*

468. λινόπτερα: similarly Ennius (quoted by Servius on Verg. *Aen.* i. 224). naves velivolae; Ovid *Pont.* iv. 5, 42 velivolae rates; cp. *Suppl.* 734 *νῆες ὠκύπτεροι*, Eur. *Hipp.* 752 *ὦ λευκόπτερε πορθμίς*, *Od.* vii. 36 *νέες ὠκεῖαι ὡς εἰ πτέρον ἠὲ νόημα*, xi. 125 *εὐήρε' ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.* — **ὀχήματα**: cp. *Suppl.* 33 *ξὺν ὄχῳ ταχυήρει*, *Od.* iv. 708 *νηῶν ὠκυπόρων ἐπιβαινέμεν, αἵ θ' ἁλὸς ἵπποι ἀνδράσι γίγνονται*, Soph. *Trach.* 656 *πολύκωπον ὄχημα ναός*, Eur. *I. T.* 410 *νάϊον ὄχημα.*

469 f. Cp. Eur. Frg. 897 *μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.*

472 ff. *μεσολαβοῦσαι αἱ τοῦ χοροῦ τὴν ἔκθεσιν τῶν κατορθωμάτων διαναπαύουσι τὸν ὑποκριτὴν* [*Αἰσχύλου*], Schol. That is, the object of the interruption is simply to rest the actor. Accordingly, the coryphaeus repeats assentingly the sentiment which Prometheus has last uttered. This is often the case in such intermediate speeches of the chorus. The words *πέπονθας αἰκὲς πῆμα*, *thou hast been shamefully treated*, voice the feeling of indignation implied in Prometheus's speech. The chorus is amazed at the unjust dispensation by which Prometheus, who helped others, cannot help himself. — **ἀποσφαλεὶς φρενῶν πλανᾷ**: equivalent to *οὐκ ἔχω σόφισμα* above. Cp. *Pers.* 392 *φόβος δὲ πᾶσι βαρβάροις παρῆν γνώμης ἀποσφαλεῖσιν*, Eur. *Iph. A.* 742 *μάτην ἦξ', ἐλπίδος δ' ἀπεσφάλην*, *Ag.* 1530 *ἀμηχανῶ φροντίδος στερηθεὶς εὐπάλαμον μέριμναν ὅπα τράπωμαι.* Asyndeton, because the clause is explanatory of **πέπονθας αἰκὲς πῆμα**. Krüger I. § 59, 1, 5.

πεσὼν ἀθυμεῖς καὶ σεαυτὸν οὐκ ἔχεις
εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος.

ΠΡΟΜΗΘΕΥΣ.

τὰ λοιπά μου κλύουσα θαυμάσει πλέον,
οἵας τέχνας τε καὶ πόρους ἐμησάμην.

τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ' οὐδέν, οὔτε βρώσιμον
οὐ χριστὸν οὔτε πιστόν, ἀλλὰ φαρμάκων
χρείᾳ κατεσκέλλοντο, πρίν γ' ἐγὼ σφίσιν
ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.
τρόπους τε πολλοὺς μαντικῆς ἐστοίχισα,
κἄκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ

474. **ἀθυμεῖς**: result of the helplessness just described.

475. **ἰάσιμος**: for the omission of *εἶ* and *σύ*, see on 42. The thought reminds one of Mark xv. 31 *ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι*, only there is no derision in the words of the coryphaeus.

479 f. **οὔτε . . . οὐ . . . οὔτε**: instead of *οὔτε . . . οὔτε . . . οὔτε* (as in 454). See on 450. — **βρώσιμον . . . χριστὸν . . . πιστόν**: cp. *Ag.* 1407 *ἐδανὸν ἢ ποτόν*, Eur. *Hipp.* 516 *πότερα δὲ χριστὸν ἢ ποτὸν τὸ φάρμακον;* Schol. on Ar. *Plut.* 717 *φάρμακον καταπλαστόν· τῶν φαρμάκων τὰ μέν ἐστι καταπλαστά, τὰ δὲ χριστά, τὰ δὲ ποτά.* The form *πιστός* (for *ποτός*) occurs only here; but cp. *πίστρα, πιστήρια.* Not only the metre, but the assonance *χριστὸν πιστόν*, suggested the unusual form.

482. **ἠπίων**: cp. *ἤπια φάρμακα Il.* iv. 218, xi. 830; *ἠπίοισι φύλλοις* Soph. *Phil.* 697.

484. **τρόπους τε πολλοὺς μαντικῆς**: on these means of prophecy (dreams, voices, omens, birds, sacrifices) cp. Xen. *Mem.* i. 1, 3 *ὅσοι μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις*, Ar. *Av.* 720 *φήμη γ' ὑμῖν ὄρνις ἐστίν, πταρμόν τ' ὄρνιθα καλεῖτε, ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον ὄρνιν*, Eur. *Suppl.* 211 *ἃ δ' ἔστ' ἄσημα κοὐ σαφῆ, γιγνώσκομεν εἰς πῦρ βλέποντες, καὶ κατὰ σπλάγχνων πτυχὰς μάντεις προσημαίνουσιν οἰωνῶν τ' ἄπο.* — Prophecy is reckoned among the instrumentalities of human progress.

485. **ἔκρινα**: *κρίνω* is the regular word for the interpretation of dreams. Cp. *ὀνειροκρίτης*, and *Cho.* 37 *κριταί τε τῶνδ' ὀνειράτων.* — For the thought cp. Pind. Frg. 96 *εὕδει δὲ* (*sc. ζωόν, the soul*) *πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

ὕπαρ γενέσθαι, κληδόνας τε δυσκρίτους
ἐγνώρισ᾽ αὐτοῖς ἐνοδίους τε συμβόλους·
γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς
διώρισ᾽, οἵτινές τε δεξιοὶ φύσιν
εὐωνύμους τε, καὶ δίαιταν ἥντινα
ἔχουσ᾽ ἕκαστοι, καὶ πρὸς ἀλλήλους τίνες
ἔχθραι τε καὶ στέργηθρα καὶ συνεδρίαι·
σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
ἔχουσ᾽ ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν
χολή, λοβοῦ τε ποικίλην εὐμορφίαν·

486 f. **ὕπαρ**: cp. *Od.* xix. 547 *οὐκ ὄναρ, ἀλλ᾽ ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.* — **κληδόνας** *κτέ.*: *κληδόνες* (or *φῆμαι*) are foreboding voices, *ἐνόδιοι σύμβολοι* signs which befall us on leaving home or on journeys. Cp. Cramer *Anecd. Ox.* IV. p. 241 *ἐνόδιον, ὅταν ἐξηγήσηταί τις τὰ ἐν ὁδῷ ἀπαντῶντα λέγων· ἐάν σοι ὑπαντήσῃ τοιοῦτος ἄνθρωπος ἢ τόδε βαστάζων ἢ τόδε, συμβήσεταί σοι τόδε,* Chrysost. on Paul. *Ephes.* 4, *Homil.* 12 *πολλῶν δειμάτων αὐτοῖς* (the Greeks) *ἡ ψυχὴ μεστή, οἷον· 'ὁ δεῖνά μοι πρῶτος ἐνέτυχεν ἐξιόντι τῆς οἰκίας· πάντως μυρίαδεῖ κακὰ συμπεσεῖν.' 'ἔξω δὲ ἐξελθόντι ὁ ὀφθαλμός μοι ὁ δεξιὸς κάτωθεν ἀναπηδᾷ· δακρύων τοῦτο τεκμήριον,'* Hor. *Carm.* iii. 27, 1 impios parrae recinentis omen ducat et praegnans canis aut ab agro rava decurrens lupa Lanuvino fetaque vulpes. Rumpit et serpens iter institutum, si per obliquum similis sagittae terruit mannos.

488. **γαμψωνύχων**: cp. *Il.* xvi. 428 *αἰγυπιοὶ γαμψώνυχες.* The large, soaring birds of prey (eagles, hawks, ravens) served for augury. — **σκεθρῶς**: cp. 102.

490 ff. **εὐωνύμους τε**: cp. on 91; also *Ag.* 444 *στένουσι δ᾽ εὖ λέγοντες τὸν μὲν ὡς μάχης ἴδρις, τὸν δ᾽ ἐν φοναῖς καλῶς πεσόντα, Pers.* 76 *πεζονόμοις ἔκ τε θαλάσσας.* — **δίαιταν . . . συνεδρίαι**: this, too, was a part of augural science, as affording prognostications of human conditions. Cp. Aristot. *Hist. An.* ix. 1 *τοῖς ὠμοφάγοις ἅπαντα πολεμεῖ, καὶ ταῦτα τοῖς ἄλλοις· ὅθεν καὶ τὰς διεδρίας καὶ τὰς συνεδρίας οἱ μάντεις λαμβάνουσι· δίεδρα μὲν τὰ πολέμια τιθέντες, σύνεδρα δὲ τὰ εἰρηνεύοντα πρὸς ἄλληλα.* Accordingly *στέργηθρα* is the untechnical, *συνεδρίαι* the technical term.

493 ff. Examination of sacrificial victims (extispicina) had to do with shape, position, and color of the inner organs. This was especially the office of the *ἱεροσκόποι* or *θυοσκόποι.* — **καὶ χροιὰν . . . χολή**: *and what color the gall must have, to be agreeable to the gods.* Cp. Eur. *El.* 826 *ἱερὰ δ᾽ εἰς χεῖρας λαβὼν Αἴγισθος ἤθρει· καὶ λόβος μὲν οὐ προσῆν σπλάγχνοις, πύλαι δὲ καὶ δοχαὶ χολῆς πέλας κακὰς ἔφαινον τῷ σκοποῦντι προσβολάς.*

κνίσῃ τε κῶλα συγκαλυπτὰ καὶ μακρὰν
ὀσφῦν πυρώσας δυστέκμαρτον ἐς τέχνην
ὥδωσα θνητούς, καὶ φλογωπὰ σήματα
ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα.
τοιαῦτα μὲν δὴ ταῦτ'· ἔνερθε δὲ χθονὸς
κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα,
χαλκόν, σίδηρον, ἄργυρον χρυσόν τε τίς
φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ;
οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλύσαι θέλων.

496 ff. κνίσῃ . . . τέχνην: this *τέχνη* is the *ἐμπυρομαντεία*, which derived signs (*σήματα*) from the form, brightness and power of the sacrificial flames. Cp. Apoll. Rh. i. 144 *αὐτὸς δὲ θεοπροπίας ἐδίδαξεν οἰωνούς τ' ἀλέγειν ἠδ' ἔμπυρα σήματ' ἰδέσθαι.* Such *ἔμπυρα* (= *φλογωπὰ*) *σήματα*, of evil portent, are described Soph. *Ant.* 1006 *ἐκ δὲ θυμάτων Ἥφαιστος οὐκ ἔλαμπεν, ἀλλ' ἐπὶ σποδῷ μυδῶσα κηκὶς μηρίων ἐτήκετο κἄτυφε κἀνέπτυε καὶ μετάρσιοι χολαὶ διεσπείροντο, καὶ καταρρυεῖς μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς.* — Incidentally, in *κνίσῃ . . . ὀσφῦν*, the poet refers to the doctrines as to what part of the victims should be offered to the gods, and in what way. There is here a vague allusion to the story in Hesiod (see Introd. p. 5). Cp. also *Il.* i. 460 *μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν, δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν.* — **μακρὰν ὀσφῦν**: = *μεγαλὴν ὀσφῦν.* Cp. *Eum.* 75 *δι' ἠπείρου μακρᾶς.* The so-called *ἱερὸν ὀστοῦν*, os sacrum, is meant. Cp. Etym. Magn. p. 468, 28 *ἱερὸν ὀστοῦν, τὸ ἄκρον τῆς ὀσφύος· οὕτω γὰρ κέκληται ὅτι μέγα ἐστίν* (hence the epithet *μακράν*), *ἢ ὅτι ἱερουργεῖται τοῖς θεοῖς.*

499. ἐξωμμάτωσα, ἐπάργεμα: these correspond in their proper significations. *ἄργεμος, νόσος ὀμμάτων* (*cataract*), *ἀφ' οὗ ἄργεμα κατὰ Δίδυμον τὰ ἐπὶ ὀφθαλμῶν λευκώματα* (albugo), Eustath. p. 1430, 60; *ἐπάργεμα λέγεται τὰ ὄμματα, ὅταν ᾖ τετυφλωμένα ὑπὸ λευκωμάτων*, Hesych. On *ἐξομματοῦν*, *take scales from the eyes*, cp. the verse from Sophocles's *Phineus* in Ar. *Plut.* 635 (*ἀντὶ γὰρ τυφλοῦ*) *ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.* Here "open the eyes" is said for "make plain." What we perceive, seems to us, as it were, to have eyes. So *τυφλός* means *invisible* as well as *not seeing*.

501. ἀνθρώποισιν: to be joined with the verbal substantive *ὠφελήματα.* Cp. 612; Ar. *Nub.* 305 *οὐρανίοις τε θεοῖς δωρήματα*, Plat. *Apol.* 30 a *τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν*, Eur. *Iph. T.* 387 *τὰ Ταντάλου τε θεοῖσιν ἑστιάματα.* Krüger I. § 48, 12, 4; G. 185; H. 765 a. For the dative with *ὠφελεῖν* see on 342 above.

502. ἄργυρον χρυσόν τε: the last two objects, united by *τέ*, form together the third member of the series. Cp. Cic. *Div.* i. 51 aurum et argentum, aes, ferrum.

504. φλύσαι: cp. Cic. *de Fin.* v. 27 dixerit hoc quidem Epicurus, semper beatum esse sapientem, quod quidem solet ebullire nonnunquam.

βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε,
πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως.

ΧΟΡΟΣ.

μή νυν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα,
σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος· ὡς ἐγὼ
εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι
λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός.

ΠΡΟΜΗΘΕΥΣ.

οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος
κρᾶναι πέπρωται, μυρίαις δὲ πημοναῖς

505. Cp. Eur. Frg. 364, 5 *βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ*, Lucret. vi. 1083 sed breviter paucis praestat comprendere multa.

507 f. Paratactic for *μή νυν βροτοὺς ὠφελῶν σαυτοῦ ἀκήδει*, according to a favorite Greek mode of expression. Cp. Dem. IX. 27 *καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ' ἔργοις οὐ ποιεῖ.* In *ὠφέλει* the time of the action is not thought of, only its sense as opposed to *ἀκήδει*. Observe that *ἀκηδεῖν* is an epic word.

509 f. The prediction of Prometheus in 476 is fulfilled; the account of his achievements has brought the chorus to enthusiastic admiration. He has only, they think, to exert his inventive genius in his own behalf, to become as powerful as Zeus himself. To the enlightened spectator this utterance, in a certain sense, is true, since at the end of the trilogy Prometheus is to take his place at the side of the other gods, and so of Zeus, as an object of worship. The thought serves furthermore as transition to the mention of the secret and the revelation of Prometheus's designs.

511 f. Prometheus tacitly accepts the words *ἐκ δεσμῶν λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διός*, but as to time (*οὔπω*) and manner (*ταύτῃ*, *as you suppose*; cp. on 247) of his release the chorus, he asserts, is wrong. — **μοῖρα πέπρωται**: cp. *τὴν πεπρωμένην μοῖραν*, Hdt. i. 91. This general statement leads to a discussion of the nature of Destiny. — **τελεσφόρος**: Eur. *Heracl.* 899, *μοῖρα τελεσσιδώτειρα.* — **κρᾶναι**: here intransitive, *go into fulfilment* (*οὔπω μοῖρα πέπρωται ταῦτα ταύτῃ κρᾶναι*). Cp. *Cho.* 1075 *ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης;* — The scholiast remarks, *οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται, ὅπερ ἐμφαίνει Αἰσχύλος.* — Eur. *Med.* 365 *ἀλλ' οὔτι ταῦτα ταύτῃ, μὴ δοκεῖτέ πω*, seems an imitation of this passage. Cp. Ar. *Eq.* 843 *οὐκ ὠγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.*

δύαις τε καμφθεὶς ὧδε δεσμὰ φυγγάνω·
τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ.

ΧΟΡΟΣ.

τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος;

ΠΡΟΜΗΘΕΥΣ.

Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.

ΧΟΡΟΣ.

τούτων ἄρα Ζεύς ἐστιν ἀσθενέστερος;

ΠΡΟΜΗΘΕΥΣ.

οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην.

ΧΟΡΟΣ.

τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;

513. **φυγγάνω**: the meaning of the present is, *I am to escape;* so 525 *ἐκφυγγάνω, I have the means of escaping.* Cp. Soph. *Phil.* 113 *αἱρεῖ τὰ τόξα ταῦτα τὴν Τροίαν μόνα.*

514. **τέχνη**: sollertia. "Skill avails nought against Necessity" is a general sentiment. Prometheus hints that the time of his release is fixed by Fate; he cannot change it, nor can Zeus himself. This last idea is taken up by the chorus in 517.

515. **οἰακοστρόφος** (cp. 148): that is, "in whose hands lies the execution of the law of the universe?"

516. **τρίμορφοι**: as it were, *ἑνὸς ὀνόματος* (Μοίρας) *τρεῖς μορφαί.* Reversed in 210 Γαῖα *πολλῶν ὀνομάτων μορφὴ μία.* — **μνήμονες**: cp. *Ag.* 155 *παλίνορτος οἰκονόμος δολία μνάμων μῆνις.* In *Eum.* 382 the Erinyes call themselves *κακῶν μνήμονες, σεμναὶ καὶ δυσπαρήγοροι βροτοῖς.* The Μοῖραι are the representatives of eternal law, the Erinyes carry out this law by punishing all who violate it. Cp. *Eum.* 334, where the Erinyes say, *τοῦτο γὰρ λάχος Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν, θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι, τοῖς ὁμαρτεῖν ὄφρ' ἂν γᾶν ὑπέλθῃ,* and Hesiod *Theog.* 217 *καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο* (*sc.* Νὺξ) *νηλεοποίνους* (where *Κῆρες* = Ἐρινύες, cp. *Sept.* 1054 *φθερσιγενεῖς Κῆρες* Ἐρινύες, and *Eum.* 321, where the Erinyes are said to be daughters of Night). — This verse taken together with 910 f. shows why Zeus is still subject to Fate. Prometheus has in mind the danger of loss of sovereignty. See Introduction, p. 17 f.

518. **οὔκουν . . . γε**: the power of Fate over Zeus is limited to the infliction of penalties for his transgressions of universal law. Cp. the words of the Pythian priestess, Hdt. i. 91 *τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγεῖν καὶ θεῷ.*

519. Cp. *Eum.* 125 *τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά;*

ΠΡΟΜΗΘΕΥΣ.

τοῦτ᾽ οὐκ ἂν ἐκπύθοιο μηδὲ λιπάρει.

ΧΟΡΟΣ.

ἦ πού τι σεμνόν ἐστιν ὃ ξυναμπέχεις.

ΠΡΟΜΗΘΕΥΣ.

ἄλλου λόγου μέμνησθε, τόνδε δ᾽ οὐδαμῶς
καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος
ὅσον μάλιστα· τόνδε γὰρ σῴζων ἐγὼ
δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω.

ΧΟΡΟΣ.

στροφὴ α΄.

μηδάμ᾽ ὁ πάντα νέμων
θεῖτ᾽ ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεύς,
μηδ᾽ ἐλινύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα
βουφόνοις, παρ᾽ Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον,

522. The scholiast remarks, *τῷ ἑξῆς δράματι φυλάττει τοὺς λόγους.* — **λόγου**: *λόγος* (like *ἔπος*) is often used of the subject-matter of a discourse. Cp. Eur. *Hel.* 120 *ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.*

524. **ὅσον μάλιστα**: like *ὅσον τάχιστα.* Krüger II. § 49, 10, 2; H. 651.

526–560. Second Stasimon. The subject — praise of peace with Heaven and a tranquil life — is suggested by the words of the coryphaeus 519 *τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;* The dactylo-epitritic rhythm corresponds with this sentiment, and 'affords, in the midst of the heat of tragic pathos, a moment of refreshing coolness and cheerful calm' (Westphal).

526 ff. *ὁ πάντα διοικῶν Ζεὺς μηδέποτε ἀντίπαλον κράτος ποιοῖτο τῇ ἐμῇ γνώμῃ, ἀντὶ τοῦ μηδέποτε ἐναντίος μοι γένοιτο,* Schol. — **θεῖτο κράτος ἀντίπαλον**: see on 163.

529 f. **ὁσίαις θοίναις**: the sacrificial feasts which the Oceanid maidens set for the gods on the shore of Ocean, remind one of the banquets of the Aethiopians in Homer (*Il.* i. 423 *Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ᾽ ἀμύμονας Αἰθιοπῆας χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ᾽ ἅμα πάντες ἕποντο*). The gods visit the banquets of the Oceanids, as in Ovid, *Fast.* iv. 423, frigida caelestum matres Arethusa vocarat; venerat ad sacras et dea flava dapes. — **βουφόνοις**: cp. *Eum.* 283 *καθαρμοῖς χοιροκτόνοις*, *Ag.* 209 *παρθενοσφάγοισι ῥείθροις.*

532. **ἄσβεστον πόρον**: cp. 139. Hesych. explains, *ἄσβεστον· ἀκατά-*

μηδ' ἀλίτοιμι λόγοις·
ἀλλά μοι τόδ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη·

ἀντιστροφὴ α'.

ἁδύ τι θαρσαλέαις
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις. φρίσσω δέ σε δερκομένα
μυρίοις μόχθοις διακναιόμενον — — ⏑ —.
Ζῆνα γὰρ οὐ τρομέων
ἰδίᾳ γνώμᾳ σέβει θνατοὺς ἄγαν, Προμηθεῦ.

στροφὴ β'.

φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπὲ ποῦ τίς ἀλκά;

παυστον. Cp. also *Ag.* 958 *ἔστιν θάλασσα, τίς δέ νιν κατασβέσει;* For *πόρον*, see 806; *Cho.* 366 *παρὰ Σκαμάνδρου πόρον*, *Pers.* 493 *ἐπ' Ἀξίου πόρον.*

534 f. **τόδε**: "the following rule of life." — **ἐκτακείη**: 'videtur a scriptura in tabulis cereis petitum esse, quae igni admoto aut solis radiis colliquescit ideoque deletur' (Schütz). Cp. 789, and Critias Frg. 2, 12 *λῆστις δ' ἐκτήκει μνημοσύνην πραπίδων.*

536. Cp. Theogn. 765 *ὧδ' εἴη κεν ἄμεινον· εὔφρονα θυμὸν ἔχοντας νόσφι μεριμνάων εὐφροσύνως διάγειν τερπομένους.*

537. **τὸν μακρὸν βίον**: *all the days of one's life.* See on 449. — **τείνειν**: *Pers.* 708 *ὁ μάσσων βίοτος ἦν ταθῇ πρόσω*, *Ag.* 1362 *ἦ καὶ βίον τείνοντες ὧδ' ὑπείξομεν*, Eur. *Ion* 624 *βίου αἰῶνα τείνει*, *Med.* 670 *ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;*

538. **φαναῖς ἐν εὐφροσύναις**: cp. Plat. *Phaedr.* 256 d *εἰς γὰρ σκότον οὐ νόμος ἐστὶν ἔτι ἐλθεῖν τοῖς κατηργμένοις ἤδη τῆς ἐπουρανίου πορείας, ἀλλά φανὸν βίον διάγοντας εὐδαιμονεῖν.* — **ἀλδαίνουσαν**: *ἀλδαίνειν*, like *ἀλιταίνειν* just above (533), is an epic word.

543. **ἰδίᾳ**: gives the right sense, but the metre requires a cretic. Probably *ἰδίᾳ* has replaced *μουνάδι*, as a gloss. Cp. *ἰδιογνώμων* and *μονογνώμων*, also *μονόφρων* *Ag.* 757; *Pers.* 734 *μονάδα δὲ Ξέρξην ἔρημόν φασιν . . . μολεῖν*, Eur. *Andr.* 855 *μονάδ' ἔρημον οὖσαν*, *Bacch.* 609 *μονάδ' ἐρημίαν*, *Phoen.* 1520 *μονάδ' αἰῶνα.* The tragic poets use the Ionic form *μοῦνος* for metrical convenience. Cp. 804 and note on 345.

544 f. **φέρ' ὅπως**: pregnant, *look how.* *δεῦρο δὴ καὶ σκόπησον*, Schol. — **ἄχαρις χάρις**: *ἡ χάρις ἣν ἐχαρίσω τοῖς ἀνθρώποις ἄχαρις ἦν καὶ ἀμείψασθαί σε μὴ δυναμένη*, Schol. Cp. *Ag.* 1545 *ἄχαριν χάριν ἀντ' ἔργων μεγάλων ἀδίκως ἐπικρᾶναι*, *Cho.* 42 *τοιάνδε χάριν ἀχάριτον ἀπότροπον κακῶν*, Eur. *Iph. T.* 566, *Phoen.* 1757, and the Homeric *Ἶρος Ἄϊρος* (*Od.* xviii. 73); also note on 904. — **ποῦ τίς**: see on *πῇ πότε*, 99.

τίς ἐφαμερίων ἄρηξις; οὐδ' ἐδέρχθης
ὀλιγοδρανίαν ἄκικυν
ἰσόνειρον, ᾇ τὸ φωτῶν
ἀλαὸν ⟨δέδεται⟩ γένος ἐμπεποδισμένον; οὔπως
τὰν Διὸς ἁρμονίαν θνατῶν παρεξίασι βουλαί.

ἀντιστροφὴ β'.

ἔμαθον τάδε σὰς προσιδοῦσ' ὀλοὰς τύχας, Προμηθεῦ.
τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα
τόδ' ἐκεῖνό θ' ὅτ' ἀμφὶ λουτρὰ
καὶ λέχος σὸν ὑμεναίουν

546 f. **ἐφαμερίων**: see on 83. With this description of human helplessness, cp. Ar. *Av.* 685 *ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι, ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ' ἀμενηνά, ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοί, ἀνέρες εἰκελόνειροι.* — **ὀλιγοδρανίαν**: with epic quantity before *δρ.* Homer uses the participle *ὀλιγοδρανέων* as equivalent to *ὀλιγηπελέων.* Cp. Orph. *Argon.* 432 *ἀνθρώπων ὀλιγοδρανέων πολυεθνέα φύτλην ἤειδον.* — **ἄκικυς**: *ἀσθενής, ἀδύνατος,* Hesych. Cp. Aesch. Frg. 230 *σοὶ δ' οὐκ ἔνεστι κῖκυς οὐδ' αἱμόρρυτοι φλέβες, Od.* xi. 393 *ἀλλ' οὐ γάρ οἱ ἔτ' ἦν ἶς ἔμπεδος οὐδέ τι κῖκυς.*

548 f. **ἰσόνειρον**: *ῑ* long, following epic usage, as in *ἰσόθεος Pers.* 80, *ἰσοδαίμων* Pind. *Nem.* iv. 136. For the sense, see on 448, and cp. Pind. *Pyth.* viii. 135 *ἐπάμεροι· τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωπος,* Eur. *Med.* 1224 *τὰ θνητὰ οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν.* — **φωτῶν**: = *ἀνδρῶν.* Cp. Soph. *Ai.* 300 *ὥστε φῶτας,* in distinction to animals. — **ᾇ δέδεται**: cp. Anth. Pal. vi. 296 *ἐκ γήρως ἀδρανίῃ δέδεται.*

550 f. **οὔπως . . . παρεξίασι βουλαί**: cp. *Suppl.* 1048 *Διὸς οὐ παρβατός ἐστιν μεγάλα φρὴν ἀπέραντος, Od.* v. 103 *ἀλλὰ μάλ' οὔπως ἔστι Διὸς νόον αἰγιόχοιο οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι,* Hesiod *Theog.* 613 *ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν,* and see on 906. For *παρεξίασι* cp. also *Il.* i. 132 *οὐ παρελεύσεαι οὐδέ με πείσεις,* Soph. *Ant.* 60, *εἰ νόμου βίᾳ ψῆφον τυράννων ἢ κράτη παρέξιμεν.* — **τὰν Διὸς ἁρμονίαν**: *ὑψηλῶς καὶ τραγικῶς τὸ τῆς εἱμαρμένης ὄνομα Διὸς ἁρμονίαν εἶπεν,* Schol., but this is inconsistent with 514 ff. By *ἁρμονία Διός* is meant rather the compact system of Zeus's realm. Cp. 230 *διεστοιχίζετο ἀρχήν.*

555. **διαμφίδιον μέλος**: *ἀλλοῖον, διαπαντὸς κεχωρισμένον· ἀμφὶς γὰρ χωρίς· Αἰσχύλος Προμηθεῖ δεσμώτῃ,* Hesych.

556. **τόδ' ἐκεῖνό τε**: for this use of *τέ,* cp. Eur. *Cycl.* 37 *μῶν κρότος σικιννίδων ὅμοιος ὑμῖν νῦν τε χὤτε Βακχίῳ κώμοις συνασπίζοντες Ἀλθαίας δόμους προσῆτε;* — **λουτρά**: *ἔθος ἦν τοῖς παλαιοῖς ὅτε ἔγημέ τις ἐπὶ τοῖς ἐγχωρίοις ποταμοῖς ἀπολούεσθαι,* Schol. on Eur. *Phoen.* 349.

558. **ὑμεναιοῦν**: *τὸ ᾄδειν τὸν ὑμέναιον καὶ συνάπτειν τὸν γάμον,* Photius.

ἰότατι γάμων, ὅτε τὰν ὁμοπάτριον ἕδνοις
ἄγαγες Ἡσιόναν πείθων δάμαρτα κοινόλεκτρον.

ΙΩ.

τίς γῆ; τί γένος; τίνα φῶ λεύσσειν
τόνδε χαλινοῖς ἐν πετρίνοισιν

559. **ἰότατι**: an Homeric word. In *Od.* xi. 384 *ἐν νόστῳ δ' ἀπόλοντο κακῆς ἰότητι γυναικός*, it means *by the design of*, but here it means *on the occasion of*. Cp. *ἕκατι*. — **τὰν ὁμοπάτριον**: Hesione is daughter of Oceanus, according to Acusilaus (quoted Schol. *Od.* x. 2, *ὡς δὲ Ἀκουσίλαος, Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ τοῦ Προμηθέως, sc. Δευκαλίων ἦν υἱός*). The expression *ὁμοπάτριον* implies that she is not a daughter of Tethys, the mother of the Oceanids.

560. The scholiast interprets, *ἕδνοις πείθων τὴν ἐσομένην σοι δάμαρτα κοινόλεκτρον*. The action of *πείθων* is synchronous with *ἄγαγες*, but continued, so that *πείθων ἕδνοις* nearly = *πειθοῖ ἕδνων*. See Krüger I. § 53, 1, 7. Cp. *Suppl.* 918 *τἄμ' ὀλωλόθ' εὑρίσκων ἄγω*.

561–886. T h i r d E p i s o d e. Io and Prometheus. The myth of Io is connected with that of Prometheus by the person of Heracles, the liberator of Prometheus, who is descended from Epaphus, the son of Zeus and Io (see on 774). The appearance of Io therefore prepares the way for the introduction of Heracles in the *Προμηθεὺς λυόμενος*. But the immediate significance of this scene consists in the present relation of Zeus and Io. Io appears as innocent and yet persecuted; her sufferings, superficially considered, put Zeus in the worst possible light. Accordingly the indignation of Prometheus rises more and more, till at last, carried away by passion, he vaunts his secret in such terms that the interposition of Zeus becomes inevitable. So the transition to the catastrophe is prepared. — The geographical part of this episode, with its description of marvels, like the scene of Heracles in the *Προμηθεὺς λυόμενος* (see below, Frg. VII. and VIII.), doubtless had a peculiar charm for the Athenians of the period.

On the origin of the myth of Io, see Introd. p. 9, footnote. Io appears as a horned maiden (588, 674; so indicated by her mask). In early Greek art, especially in vase-paintings, she has the figure of a cow outright. On the throne of the Amyclaean Apollo, a work of the sculptor Bathycles (about Ol. 60), Hera was represented as glaring at Io, 'who is already a cow' (Paus. iii. 18. 7). On an archaic black-figured vase of the Munich collection (No. 573; see Panofka, *Argos Panoptes*, plate 5), Argus is seen, seated on the ground, a ferocious figure with long hair and beard, and a huge eye in his shaggy breast; he holds in his hand a long cord, attached to the horns of a cow. Near by stands Hermes, grasping the cord near the horns with his left hand, and about to draw his sword with his right. Argus's dog

χειμαζόμενον;
τίνος ἀμπλακίας ποινὰς ὀλέκει;
σήμηνον ὅποι
γῆς ἡ μογερὰ πεπλάνημαι.

ἆ ἆ,
χρίει τις αὖ με τὰν τάλαιναν οἶστρος,
εἴδωλον Ἄργου γηγενοῦς,
ἄλευ' ἆ δᾶ,

stands at bay in front of his master. Through the influence of this tragedy, Io came later to be depicted in art as a maiden with horns. So, for instance, on a red-figured vase of the Berlin Museum (Panofka, *l.c.*, plate 3). The 'stinging gadfly' of the legend (cp. *Suppl.* 306 ΒΑ. τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ; ΧΟ. βοηλάτην μύωπα κινητήριον, Verg. *Georg.* iii. 147 cui nomen asilo Romanum est, oestrum Graii vertere vocantes), which is mentioned in Io's narrative, 675 below, had also to be omitted in the scenic representation. The difficulty was met by a figurative conception of οἶστρος; the maddening sting was interpreted as the reminiscence of the crafty eye of Argos (567). — On account of the unusual manner of Io's entrance and exit, the anapaests which commonly accompany the arrival and departure of a personage are here and at 877 given to the actor, not to the chorus. So above, at the entrance of the chorus (120 ff.).

563. χειμαζόμενον: here in its proper sense, *exposed to wind and weather.* Cp. 15. Other commentators take the word figuratively, vexatum, cruciatum, as in Soph. *Phil.* 1459 Ἑρμαῖον ὄρος παρέπεμψεν ἐμοὶ στόνον ἀντίτυπον χειμαζομένῳ, Eur. *Hipp.* 315 ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι, *Suppl.* 269 πόλις χειμασθεῖσα, cp. below 838, 643, 1015.

564. ποινάς: in apposition to ὀλέκει. Destruction is the penalty of the crime. Cp. *Ag.* 224 ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρός, γυναικοποίνων πολέμων ἀρωγὰν καὶ προτέλεια ναῶν. It is rare for an appositive of this sort to precede the verb (Krüger II. § 57, 10, 6), but here this is brought about by the question. Others regard ποινάς as accusative of the inner object; see on 591 below. — **ὀλέκει**: ὀλέκω (or ὀλέκομαι) is an epic word. Other occurrences of it in tragedy are Soph. *Ant.* 1285 (ὀλέκεις), *Trach.* 1013 (ὠλεκόμαν).

567 f. 'Quod dicit αὖ, id scite et convenienter spectatoris cogitationem ad ea quae extra scenam gesta sunt, traducit' (Schütz). — **εἴδωλον**: acc. depending on εἰσορῶσα. — **γηγενοῦς**: cp. *Suppl.* 305 Ἄργον παῖδα γῆς. — **ἄλευ' ἆ δᾶ**: in a frenzy of fear, Io interrupts her sentence with this cry. Cp. *Suppl.* 528 and *Sept.* 141 ἄλευσον, *Sept.* 86 ἰὼ ἰὼ θεοὶ θεαί τ' ὀρόμενον κακὸν ἀλεύσατε. δᾶ is vocative of Δᾶς = Ζᾶς = Ζεύς (cp. ὦ Ζήν, *Suppl.* 162), but it is a mere interjection, not an invocation of the particular god. Cp. *Eum.* 874 οἰοῖ δᾶ, φεῦ.

τὸν μυριωπὸν εἰσορῶσα βούταν.
ὃ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων,
ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει·
ἀλλά με τὰν τάλαιναν
ἐξ ἐνέρων περῶν κυναγεῖ πλανᾷ
τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμαν.

στροφή.

ὑπὸ δὲ κηρόπακτος ὀτοβεῖ δόναξ
ἀχέτας ὑπνοδόταν νόμον.
ἰὼ ἰώ, πόποι, ποῖ μ' ἄγουσιν ⟨πλάναι⟩,
τηλέπλανοι πλάναι;

569. **τὸν μυριωπὸν εἰσορῶσα βούταν**: as if *οἰστροῦμαι* and *Ἄργον γηγενῆ* had preceded the intermediate exclamation. With *εἰσορῶσα* cp. Eur. *Hec.* 970 *αἰδώς μ' ἔχει ἐν τῷδε πότμῳ τυγχάνουσ' ἵν' εἰμὶ νῦν*, *Iph. T.* 947 *ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων ἑκὼν ἐδέξατο*, *Cycl.* 330 *δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν καὶ πῦρ ἀναίθων χιόνος οὐδέν μοι μέλει*, *Ion* 927 *ὑπεξαντλῶν . . . ἄρδει με*, *Hipp.* 22 *τὰ πολλὰ δὲ πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.* See Krüger I. § 56, 9, 4, and note on 201 above. — With *μυριωπὸν βούταν* cp. *Suppl.* 304 *πανόπτην οἰοβουκόλον*, also 677 below.

570. **δόλιον ὄμμα**: aptly characterizes the crafty glance of the pursuing spectre. — Dochmii are the proper rhythm for monodies of tragedy which express passionate agitation.

571. **κατθανόντα**: cp. *Suppl.* 305 *Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε.*

572. **ἀλλά με**: the relative clause is continued, as usual, by an independent sentence.

573. **ψάμμαν**: the form *ψάμμη* (for *ψάμμος*) recurs Ar. *Lys.* 1260 (*τᾶς ψάμμας*) and Hdt. iv. 181.

574 f. **ὑπὸ . . . ὀτοβεῖ**: see on 126. On the interposition of important (not of short) words between preposition and verb, see Krüger II. § 68, 48, 4, and below on 878. — **κηρόπακτος**: *wax-joined*. Cp. Eur. *Iph. T.* 1125 *συρίζων ὁ κηροδέτας κάλαμος οὐρείου Πανός*, Theocr. *Id.* i. 128 *ἔνθ' ὦναξ καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν ἐκ κηρῶ σύριγγα καλάν*, *Ep.* xiii. 4 *κηροδέτῳ πνεύματι μελπόμενος*, Ovid. *Metam.* i. 711 disparibus calamis compagine cerae inter se iunctis, Verg. *Ecl.* ii. 32 Pan primus calamos cera coniungere pluris instituit. The flute of the *αὐλητής* was here actually heard, accompanying the strophic portion of Io's song. The foregoing portion was recitative (*παρακαταλογή*). — **ὑπνοδόταν νόμον**: the "slumberous lay" depicts the exhaustion of Io.

576. **πλάναι, τηλέπλανοι πλάναι**: for the repetition, cp. *Sept.* 134 *ἐπίλυσιν πόνων, ἐπίλυσιν δίδου*, 171 *κλύετε παρθένων κλύετε πανδίκως χειροτόνους*

τί ποτέ μ', ὦ Κρόνιε παῖ, τί ποτε
  ταῖσδ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν
  πημοσύναις, ἐή,
οἰστρηλάτῳ δὲ δείματι δειλαίαν
  παράκοπον ὧδε τείρεις;
πυρί με φλέξον ἢ χθονὶ κάλυψον ἢ ποντίοις
  δάκεσι δὸς βοράν,
μηδέ μοι φθονήσῃς
  εὐγμάτων, ἄναξ.
ἅδην με πολύπλανοι πλάναι
  γεγυμνάκασιν, οὐδ' ἔχω μαθεῖν ὅπα
  πημονὰς ἀλύξω.
κλύεις φθέγμα τᾶς βούκερω παρθένου;

ΠΡΟΜΗΘΕΥΣ.

πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης,
τῆς Ἰναχείας; ἣ Διὸς θάλπει κέαρ

λιτάς, *Ag.* 1456 τὰς πολλὰς τὰς πάνυ πολλάς. The formation of a compound adjective from the substantive which it accompanies, occurs in three other passages of Aeschylus: 585 below, *Cho.* 315 πάτερ αἰνόπατερ, *Eum.* 690 πόλιν νεόπτολιν. In Sophocles it is nowhere found, but often in Euripides (τυφλόπους πούς, τρίπους χαλκόπους, πόρον εὔπορον, κάματον εὐκάματον, *etc.*).

577 f. **ταῖσδ' ἐνέζευξας ἐν πημοσύναις**: see on 108, and cp. *Il.* ii. 111 Ζεύς με μέγα Κρονίδης ἄτῃ ἐνέδησε βαρείῃ, Soph. *O. C.* 526 γάμων ἐνέδησεν ἄτᾳ.

580 f. **οἰστρηλάτῳ δείματι**: see on 147. — **παράκοπον**: cp. παράκοποι φρενῶν Eur. *Bacch.* 33. Properly of coins, *false-struck*, *counterfeit*.

582. Cp. Soph. *O. T.* 1410 ἔξω μέ που καλύψατ' ἢ φονεύσατ' ἢ θαλάσσιον ἐκρίψατε, Eur. *Suppl.* 829 κατά με πέδον γᾶς ἕλοι, διὰ δὲ θύελλα σπάσαι, πυρός τε φλογμὸς ὁ Διὸς ἐν κάρᾳ πέσοι.

584. **μοι φθονήσῃς εὐγμάτων**: cp. 626, 859; Eur. *H. F.* 333 οὐ φθονῶ πέπλων, 1309 λέκτρων φθονοῦσα Ζηνί.

586. **γεγυμνάκασιν**: cp. 592; Eur. *Hel.* 533 οὐδ' ἀγύμναστον πλάνοις ἥξειν.

588. **τᾶς βούκερω παρθένου**: equivalent to the announcement of the speaker's name. See on 296.

589. **οἰστροδινήτου**: cp. *Suppl.* 573 πολύπλαγκτον ἀθλίαν οἰστροδόνητον Ἰώ, 17 τῆς οἰστροδόνου βοός, *Od.* xxii. 299 βόες ὣς ἀγελαῖαι, τὰς μέν τ' αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν.

590. **τῆς Ἰναχείας**: see on 164. Διὰ τοῦ τὸν πατέρα αὐτῆς ὀνομάσαι ἐνέφηνε τὸν μάντιν, ὡς καὶ παρ' Ὁμήρῳ (*Od.* xi. 100) ὁ Τειρεσίας 'νόστον δίζηαι μελιηδέα, φαίδιμ' Ὀδυσσεῦ,' Schol.

ἔρωτι, καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους
Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται.

ΙΩ.

ἀντιστροφή.

πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ᾽ ἀπύεις,
εἰπέ μοι τᾷ μογερᾷ, τίς ὤν,
τίς ἄρα μ᾽, ὦ τάλας, τὰν ταλαίπωρον ὧδ᾽
ἔτυμα προσθροεῖς,
θεόσυτόν τε νόσον ὠνόμασας,
ἃ μαραίνει με χρίουσα κέντροις, ἰώ,
φοιταλέοις, ἐή.
σκιρτημάτων δὲ νήστισιν αἰκίαις
λαβρόσυτος ἦλθον, ⟨ἄλλων⟩
ἐπικότοισι μήδεσι δαμεῖσα. δυσδαιμόνων
δὲ τίνες οἵ, ἐή,
οἷ᾽ ἐγὼ μογοῦσιν;
ἀλλά μοι τορῶς
τέκμηρον ὅ τι μ᾽ ἐπαμμένει
παθεῖν, τί μῆχαρ, ἢ τί φάρμακον νόσου·

591 f. **δρόμους γυμνάζεται**: an extension of the accusative of the inner object (= *γυμνάζειν τινὰ γυμνασίαν ὑπερμήκων δρόμων*). Cp. Soph. *Ai.* 1107 *τὰ σέμν᾽ ἔπη κόλαζ᾽ ἐκείνους*, *O. T.* 340 *ἔπη, ἃ νῦν σὺ τήνδ᾽ ἀτιμάζεις πόλιν.* Krüger II. § 46, 7, 1; H. 716 a.

597. **θεόσυτον**: cp. *λαβρόσυτος* 601, and see on 116.

599. **φοιταλέοις**: transferred from the *person* affected to the *thing* affecting, as in Goethe's expression '*von durstiger Jagd.*' Cp. *Ag.* 193 *πνοαὶ κακόσχολοι νήστιδες δύσορμοι, βροτῶν ἄλαι*, and see on *ἀφεγγής*, 115 above.

601. **ἄλλων**: *τοῖς τῆς Ἥρας*, Schol. Io shrinks from speaking the name of her persecutor. Cp. Eur. *Hec.* 640 *κοινὸν δ᾽ ἐξ ἰδίας ἀνοίας κακὸν τᾷ Σιμουντίδι γᾷ ὀλέθριον ἔμολε συμφορά τ᾽ ἀπ᾽ ἄλλων* (the three contending goddesses). See also on 673 below.

604. **τορῶς**: cp. *Pers.* 479 *σημῆναι τορῶς.*

605. **ὅ τι . . . τί**: cp. Soph. *O. T.* 71 *πύθοιθ᾽ ὅ τι δρῶν ἢ τί φωνῶν ῥυσαίμην*, Eur. *Ion* 785 *πῶς ἐκπεραίνεται φράζε χὤστις ἔσθ᾽ ὁ παῖς*, *Iph. A.* 696 *γένους δὲ ποίου χὠπόθεν μαθεῖν θέλω*, Plat. *Gorg.* 448 e *οὐδεὶς ἠρώτα ποία τις εἴη ἡ Γοργίου τέχνη, ἀλλὰ τίς, καὶ ὅντινα δέοι καλεῖν τὸν Γοργίαν.* — **ἐπαμμένει**: cp. *Pers.* 807 *οὗ σφιν κακῶν ὕψιστ᾽ ἐπαμμένει παθεῖν.*

δεῖξον εἴπερ οἶσθα·
θρόει φράζε τᾷ δυσπλάνῳ παρθένῳ.

ΠΡΟΜΗΘΕΥΣ.

λέξω τορῶς σοι πᾶν ὅπερ χρῄζεις μαθεῖν,
οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ,
ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα.
πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα.

ΙΩ.

ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς,
τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε;

ΠΡΟΜΗΘΕΥΣ.

ἁρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.

ΙΩ.

οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί;

ΠΡΟΜΗΘΕΥΣ.

λέγ' ἥντιν' αἰτεῖ· πᾶν δ' ἂν οὐ πύθοιό μου.

ΙΩ.

σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε.

608. **θρόει, φράζε**: asyndeton of urgent entreaty; see on 56. — **τᾷ παρθένῳ**: cp. 588. Aeschylus often puts like words in corresponding positions of strophe and antistrophe.

610. Cp. *Suppl.* 464 *αἰνιγματῶδες τοὔπος· ἀλλ' ἁπλῶς φράσον*, and 949 below.

612. **πυρὸς βροτοῖς δοτῆρα**: on the dative with personal verbal substantives see Krüger I. § 48, 12, 5, and on 501. — This verse, though lacking the regular caesura, is not divided in the middle, because *δοτῆρ'* and *ὁρᾷς* are closely connected by elision. Cp. 710 and see note on 640.

613. The stichomythy is introduced by a speech of two verses (see on 38), and at 622 below the transition to a new topic is similarly marked.

615. **ἁρμοῖ**: *ἀρτίως*, Hesych. According to Heraclides (Eustath. on *Iliad* p. 140, 13), a Syracusan word. Cp. Soph. *Ai.* 787 *τί μ' αὖ τάλαιναν ἀρτίως πεπαυμένην κακῶν ἀτρύτων ἐξ ἕδρας ἀνίστατε;* Eur. Frg. 337 *τί μ', ὦ ξέν', ἄρτι πημάτων λελησμένην ὀρθοῖς;*

ΠΡΟΜΗΘΕΥΣ.

βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χείρ.

ΙΩ.

ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις;

ΠΡΟΜΗΘΕΥΣ.

τοσοῦτον ἀρκῶ σοι σαφηνίσας μόνον.

ΙΩ.

καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης
δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος.

ΠΡΟΜΗΘΕΥΣ.

τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε.

ΙΩ.

μή τοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος.

ΙΩ.

τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;

ΠΡΟΜΗΘΕΥΣ.

φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θρᾶξαι φρένας.

621. **τοσοῦτον** *κτέ.*: *διὰ τὸ μὴ ταυτολογῆσαι*, Schol. — **ἀρκῶ σαφηνίσας**: for the supplementary participle with *ἀρκῶ*, see GMT. 899.

625 f. **μή τοι**: '*τοι* non concludendae rationi, sed asseverando hortandoque inservit' (Hermann). Cp. 436 above, Soph. *Ant.* 544 *μή τοι κασιγνήτη μ' ἀτιμήσῃς τὸ μὴ οὐ θανεῖν*, *O. C.* 1407 *μή τοί με πρὸς θεῶν σφώ γε . . . μή μ' ἀτιμήσητέ γε*, 1439 *μή τοι μ' ὀδύρου.* — **μεγαίρω**: an epic word.

627. **μὴ οὐ**: cp. Soph. *Ai.* 540 *τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν*; and 1056 below. Krüger II. § 67, 12, 4; GMT. 817.—**γεγωνίσκειν**: poetic present to *γέγωνα*, recurs Thuc. vii. 76.

628. **θρᾶξαι**: *ταράξαι, λυπῆσαι, Εὐριπίδης Πειρίθῳ*, Hesych. Cp. Bekker's *Anecd.* 352, 16 *ἄθρακτος, ἀτάραχος. καὶ τὸ συνεχύθη ἐθράχθη Σοφοκλῆς λέγει.* Eur. *Rhes.* 863 *δέδοικα δ' αὐτὸν καί τί μου θράσσει φρένας.* The tenuis, in the shortened form, changes to aspirate from the influence of the following liquid, as in *φροίμιον* (*προ-οίμιον*), *φροῦδος* (*πρό-οδος*), *φρουρός* (*πρό-ορος*), *etc.* See Curtius *Etymol.*[5] p. 501.

ΙΩ.

μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκύ.

ΠΡΟΜΗΘΕΥΣ.

ἐπεὶ προθυμεῖ, χρὴ λέγειν· ἄκουε δή.

ΧΟΡΟΣ.

μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε.
τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον
αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας·
τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα.

ΠΡΟΜΗΘΕΥΣ.

σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν,
ἄλλως τε πάντως καὶ κασιγνήταις πατρός.

629. **μᾶσσον ὡς**: = *μᾶσσον ἤ*. So in German *wie* instead of *als* after comparatives. Cp. *Il.* iv. 277 *μελάντερον ἠΰτε πίσσα*, Xenophanes in Athen. xii. 526 b *οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπαν*, Dios in Stob. *Flor.* 65, 16 *τούτως γάρ, ὡς ἐνί, μασσότερον οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα ὑποτρέχοντι καὶ θεραπεύοντι*, *Lys.* VII. 12 *ἡγούμενος μᾶλλον λέγεσθαι ὥς μοι προσῆκε*, VII. 31 *ἅπαντα προθυμότερον πεποίηκα ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην*, Dem. XXV. 53 *τοῦτον οὐ τιμωρήσεσθε ἀλλὰ καὶ μειζόνων ἀξιώσαντες δωρεῶν ἀφήσετε ὡς τοὺς εὐεργέτας*. — **προκήδου**: contains an allusion to the name *Προμηθεύς*.

630. **ἐπεὶ προθυμεῖ**: cp. 786.

631. **μήπω γε**: the relation of Io's adventures, beginning at this point, is in three parts. First comes Io's own narrative, given at request of the chorus; secondly, Prometheus, at Io's request, foretells her future destiny; and thirdly, he describes her previous wanderings, in order to convince her of his knowledge of the future. The second part is further divided into two distinct portions — wanderings in Europe (700–741), and wanderings in Asia and Africa (786–818). These are separated by a digression, but interest in the continuance of the narrative is ensured by 740 f. Thus by variety of motive, and by frequent hints of what is to come, the poet keeps the spectators' attention (see on 283) and gives his material an effective dramatic form.

632 f. **νόσον**: cp. 596 and see note on 249. *νόσον* and *τὰς πολυφθόρους τύχας* stand in connexion; "let us hear what fatal misfortunes have brought her to this distressful state."

634. **τὰ λοιπὰ ἄθλων**: cp. 780, 684; Soph. *Phil.* 24 *τἀπίλοιπα τῶν λόγων*.

635. **ὑπουργῆσαι χάριν**: like *χαρίζεσθαι χάριν*. Cp. Eur. *Alc.* 842 *Ἀδμήτῳ ὑπουργῆσαι χάριν*, Soph. Frg. 313 *ἀνθυπουργῆσαι χάριν*.

636. **ἄλλως τε πάντως καί**: cp. *Pers.* 688 *ἐστὶ δ' οὐκ εὐέξοδον, ἄλλως τε πάντως χοἰ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμεί-*

ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπου μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει.

ΙΩ.

οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρή,
σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε
πεύσεσθε· καίτοι καὶ λέγουσ' ὀδύρομαι
θεόσσυτον χειμῶνα καὶ διαφθορὰν
μορφῆς ὅθεν μοι σχετλίᾳ προσέπτατο.
αἰεὶ γὰρ ὄψεις ἔννυχοι πωλεύμεναι
ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν
λείοισι μύθοις· ὦ μέγ' εὔδαιμον κόρη,

νους εἰσὶν ἢ μεθιέναι (here an independent clause follows), *Eum.* 726 *ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι.* A temporal or conditional clause, or a participle, is the usual construction after *ἄλλως τε καί.* — **κασιγνήταις πατρός**: cp. Hesiod *Theog.* 337 *Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας.*

637. Cp. Eur. Frg. 567 *σχολὴ μὲν οὐχί, τῷ δὲ δυστυχοῦντί πως τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάλιν.*

638. **μέλλοι**: optative of a purely imaginary case. Cp. Soph. *Ant.* 666 *ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν*, *O. T.* 314 *ἄνδρα δ' ὠφελεῖν, ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνος*, 979 *εἰκῇ κράτιστον ζῆν ὅπως δύναιτό τις*, Thuc. i. 120 *ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν.* Krüger I. § 54, 14, 4.

639. **ἀξίαν τριβὴν ἔχει**: = *ἀξίαν* (substantive) *τῆς τριβῆς ἔχει.* Cp. Eur. *Med.* 1124 *τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;*

640. Verses lacking the usual caesura, and dividing themselves into two halves, are not frequent in Aeschylus. The greatest number (seven) occurs in the *Persians.* In this place the ill effect is somewhat relieved by a pause after *οὐκ οἶδ'.* — **ἀπιστῆσαι**: *disobey.* Cp. *Sept.* 1030 *ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει*, Soph. *Ant.* 381 *οὐ δή που σέ γ' ἀπιστοῦσαν τοῖς βασιλείοισιν ἄγουσι νόμοις*, Eur. *Suppl.* 389 *ἢν δ' ἀπιστῶσ', οἵδε δεύτεροι λόγοι.*

642. **καὶ λέγουσ' ὀδύρομαι**: "the bare recital costs me tears." Cp. 197; Eur. *Hec.* 519 *νῦν τε γὰρ λέγων κακὰ τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ' ὅτ' ὤλλυτο*, Verg. *Aen.* ii. 6 quis talia fando . . . temperet a lacrimis?

644. Cp. Soph. *Ai.* 282 *τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο;* Eur. *Alc.* 420 *οὐκ ἄφνω κακὸν τόδε προσέπτατο.*

647. **μέγ' εὔδαιμον**: cp. Xen. *Cyr.* v. 1, 28 *μέγα εὐδαίμονας γενέσθαι*, *Suppl.* 141 *σεμνᾶς μέγα ματρός*, Eur. *Or.* 1691 *ὦ μέγα σεμνὴ Νίκη*, and 1004 below. Also *μέγ' ἔξοχος, μέγα νήπιος* in Homer and Hesiod. Krüger II. § 46, 6, 7.

τί παρθενεύει δαρὸν ἐξόν σοι γάμου
τυχεῖν μεγίστου; Ζεὺς γὰρ ἱμέρου βέλει
πρὸς σοῦ τέθαλπται καὶ συναίρεσθαι Κύπριν
θέλει· σὺ δ', ὦ παῖ, μἀπολακτίσῃς λέχος
τὸ Ζηνός, ἀλλ' ἔξελθε πρὸς Λέρνης βαθὺν
λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρός,
ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου.

τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι
συνειχόμην δύστηνος, ἔς τε δὴ πατρὶ
ἔτλην γεγωνεῖν νυκτίφοιτα δείματα.
ὁ δ' ἔς τε Πυθὼ κἀπὶ Δωδώνης πυκνοὺς
θεοπρόπους ἴαλλεν, ὡς μάθοι τί χρὴ
δρῶντ' ἢ λέγοντα δαίμοσιν πράσσειν φίλα.

648. Enclitics form, as it were, one word with the preceding; the long thesis of the fifth foot is therefore not a blemish, especially after the hephthemimeral caesura. See on 107.

649 f. ἱμέρου βέλει: = *ἔρωτι* (591). In an inverse relation *τόξευμα* is used in *Suppl.* 1003 *καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν ἱμέρου νικώμενος.* — **τέθαλπται**: cp. Soph. *Ant.* 1085 *ἀφῆκα καρδίας τοξεύματα βέβαια τῶν σὺ θάλπος οὐκ ὑπεκδραμεῖ. θάλπος* is said both of the smart of wounds and the fire of love (590). — **συναίρεσθαι Κύπριν**: *συνουσιάσαι*, Schol.

651. Crasis of *μὴ ἀ-* is frequent. *Cho.* 918, *Eum.* 85 f., 694, 749, *Suppl.* 209. — **ἀπολακτίσῃς**: *ὡς ἀπὸ τῶν ἀλόγων ζῴων*, Schol. The coarse expression is purposely chosen, for intimidation.

652. βαθὺν λειμῶνα: *grassy meadow*, *i.e.* with thick, deep herbage. Cp. *Od.* ix. 134 *μάλα κὲν βαθὺ λήιον αἰεὶ εἰς ὥρας ἀμῷεν, ἐπεὶ μάλα πῖαρ ὑπ' οὖδας*, *Il.* ii. 147 *ὡς δ' ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήιον ἐλθών*, ix. 151 *Ἄνθειαν βαθύλειμον*, Eur. *Hipp.* 1138 *βαθεῖαν ἀνὰ χλόαν.*

654. ὄμμα λωφήσῃ: cp. 376. Desire betrays itself in the look. Cp. Soph. *Ai.* 140 *πεφόβημαι πτηνῆς ὡς ὄμμα πελείας.*

657. Cp. *Cho.* 523 *ἐκ τ' ὀνειράτων καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη.*

658 f. ἐπὶ Δωδώνης: *towards Dodona.* *ἐπί* with gen. of general direction or end in view, frequent in Homer (cp. *Il.* iii. 5) and Herodotus (cp. i. 1). With our passage cp. Eur. *El.* 1343 *στεῖχ' ἐπ' Ἀθηνῶν*, Thuc. i. 63 *ὁποτέρωσε διακινδυνεύσει χωρήσας ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς τὴν Ποτίδαιαν.* G. 191, VI. 2, 1 a; H. 799, 1, 6. — **ἴαλλεν**: an epic word.

660. τί δρῶντ' ἢ λέγοντα: this particularization is a favorite one in Greek. Cp. the Homeric *ἢ ἔπει ἢ ἔργῳ*, *Il.* i. 504. Especially appro-

ἧκον δ᾽ ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμους δυσκρίτως τ᾽ εἰρημένους.
τέλος δ᾽ ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ
σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη
ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ
ἄφετον ἀλᾶσθαι γῆς ἐπ᾽ ἐσχάτοις ὅροις,
εἰ μὴ θέλοι πυρωπὸν ἐκ Διὸς μολεῖν
κεραυνὸν ὃς πᾶν ἐξαϊστώσοι γένος.

τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν
ἐξήλασέν με κἀπέκλῃσε δωμάτων
ἄκουσαν ἄκων· ἀλλ᾽ ἐπηνάγκαζέ νιν
Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε.
εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι

priate in anxious inquiry of an oracle; cp. Soph. *O. T.* 70 *ἐς τὰ Πυθικὰ ἔπεμψα Φοίβου δώμαθ᾽, ὡς πύθοιθ᾽, ὅ τι δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν.* Cp. also *Cho.* 316 *τί σοι φάμενος ἢ τί ῥέξας*, *Pers.* 174 *μήτ᾽ ἔπος μήτ᾽ ἔργον*, Eur. *Hec.* 372 *μηδὲν ἐμποδὼν γένῃ λέγουσα μηδὲ δρῶσα*, *Phoen.* 878 *τί οὐ δρῶν, ποῖα δ᾽ οὐ λέγων ἔπη.* — **πράσσειν φίλα**: = *ἦρα φέρειν, χαρίζεσθαι. πράσσειν* covers both *δρᾶν* and *λέγειν.*

662. 'Synonymorum coacervatio non modo rem ipsam, scilicet ambiguitatem oraculorum, auget atque exaggerat, sed etiam commotum Ius animum ostendit' (Schütz). So below *ἐναργὴς . . . σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη.*

855 f. **συγγενῆ**: gives the motive for *φεύγουσα.* — **ἀνεψιῶν**: cp. *Suppl.* 320 *Δαναός· ἀδελφὸς δ' ἐστὶ πεντακοντάπαις . . . Αἴγυπτος.* — **ἐπτοημένοι**: cp. Eur. *Iph. A.* 586 *ἔρωτι δ' αὐτὸς ἐπτοάθης*, Sappho Frg. 2, 5 *καὶ γελαίσας ἰμερόεν, τό μοι μὰν καρδίαν ἐν στήθεσιν ἐπτόασεν*, Apoll. Rhod. *Arg.* i. 1232 *τῆς δὲ φρένας ἐπτοίησεν Κύπρις.*

857. **κίρκοι**: the simile is added without comparative conjunction, in poetic fashion. For the comparison cp. *Suppl.* 223 *ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβῳ*, *Il.* xxii. 139 *ἠΰτε κίρκος ὄρεσφιν ἐλαφρότατος πετεεινῶν ῥηιδίως οἴμησε μετὰ τρήρωνα πέλειαν.*

859. **φθόνον ἕξει**: = *φθονήσει.* Cp. *χρείαν ἔχειν* 169, and *Cho.* 481. The sense: "God will begrudge them their desire," *σωμάτων τῶν παρθένων φθονήσει αὐτοῖς* (cp. 584), 'puellarum fructum deus maritis invidebit' (Heyne). The marriage will be celebrated, but will be dissolved in blood.

860 f. **Πελασγία**: cp. Eur. *Suppl.* 367 *καὶ μεγαλᾷ Πελασγίᾳ καὶ κατ' Ἄργος*, Strabo p. 221 *Αἰσχύλος ἐκ τοῦ περὶ Μυκήνας Ἄργους φησὶν ἐν Ἱκέτισι καὶ Δαναΐσι τὸ γένος αὐτῶν* (*i.e.* *τῶν Πελασ-*

Ἄρει δαμέντων νυκτιφρουρήτῳ θράσει·
γυνὴ γὰρ ἄνδρ᾽ ἕκαστον αἰῶνος στερεῖ,
δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος·
τοιάδ᾽ ἐπ᾽ ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις.
μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ
κτεῖναι σύνευνον, ἀλλ᾽ ἀπαμβλυνθήσεται
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται,
κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος·
αὕτη κατ᾽ Ἄργος βασιλικὸν τέξει γένος.
μακροῦ λόγου δεῖ ταῦτ᾽ ἐπεξελθεῖν τορῶς.

γῶν) καὶ τὴν Πελοπόννησον δὲ Πελασγίαν φησὶν Ἔφορος κληθῆναι. Argos (*Suppl.* 634), the land of Pelasgus (*Suppl.* 250), is meant. — **δέξεται**: both sense and syntax demand *αἱμάξεται* (= *αἱμαχθήσεται*, as Soph. *Phil.* 48 *φυλάξεται* = *φυλαχθήσεται*). Cp. *Ag.* 1589 *θανὼν πατρῷον αἱμάξαι πέδον*, *Pers.* 595 *αἱμαχθεῖσα δ᾽ ἄρουρα*, Eur. *H. F.* 573 *Δίρκης νᾶμα αἱμαχθήσεται.* The verse would thus lack the usual caesura; but see on 640, and Introd. p. 26, footnote. — **Ἄρει** : = *φόνῳ*. — **δαμέντων**: *sc. αὐτῶν.* GMT. 848; H. 972 a. — **νυκτιφρουρήτῳ**: *τῷ νυκτὸς ἐπιτηρήσαντι*, Schol. More exactly *night-waking, awake at night.* See on 599.

862. **ἕκαστον**: goes in sense with *γυνή* as well as *ἄνδρα*. — **αἰῶνος στερεῖ**: cp. *Il.* xxii. 58 *αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς*, xvi. 453 *ἐπὴν δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών.*

863. **ἐν σφαγαῖσι βάψασα ξίφος**: cp. Soph. *Ai.* 95 *ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ.* The phrase *ἐν σφαγαῖσι* = *ἐν φόνῳ*, *in the blood of the slaughtered men.* Blomfield, after Ruhnken, explains *ἐν σφαγαῖσι* as 'in iugulo,' comparing Eur. *Or.* 291 *μήποτε τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος*, Aristot. *Hist. An.* i. 14 *κοινὸν δὲ μέρος αὐχένος καὶ στήθους σφαγή* (in animals), Polyaen. viii. 48 *τὸ ξίφος καθεῖσα διὰ τῆς σφαγῆς*, Antonin. Liberal. 25 *ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα καὶ ἀνέρρηξαν τὴν σφαγήν.*

864. With this wish cp. *Suppl.* 1032 *μηδ᾽ ὑπ᾽ ἀνάγκας γάμος ἔλθοι Κυθερείας· στυγερῶν πέλοι τόδ᾽ ἆθλον*, Xen. *Anab.* iii. 2. 3 *οἶμαι γὰρ ἂν ὑμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.*

865. **μίαν**: Hypermnestra; see on 774. — **θέλξει τὸ μή**: see on 236.

866. **ἀπαμβλυνθήσεται**: '*ἀπαμβλύνειν* ut *ἀμβλύνειν* de impetu animi retardato ponitur. Comparatio a retusa ferri acie ducta est. Sic *Sept.* 715 *τεθηγμένον τοί μ᾽ οὐκ ἀπαμβλυνεῖς λόγῳ*' (Schütz). Cp. the words of Hypermnestra in Ovid. *Her.* xiv. 7 esse ream praestat quam sic placuisse parenti; non piget immunes caedis habere manus.

869 f. Prometheus begins as if about to tell the whole story, but suddenly breaks off. Hence the asyndeton *μακροῦ λόγου δεῖ.* With *μακροῦ λόγου* cp. *Pers.* 713, *πάντα γὰρ ἀκούσει μῦθον ἐν βραχεῖ λόγῳ.*

σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς
τόξοισι κλεινὸς ὃς πόνων ἐκ τῶνδ᾽ ἐμὲ
λύσει. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς
μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις·
ὅπως δὲ χὤπῃ, ταῦτα δεῖ μακροῦ λόγου
εἰπεῖν, σύ τ᾽ οὐδὲν ἐκμαθοῦσα κερδανεῖς.

ΙΩ.

ἐλελεῦ, ἐλελεῦ,
ὑπό μ᾽ αὖ σφάκελος καὶ φρενοπλῆγες
μανίαι θάλπουσ᾽, οἴστρου δ᾽ ἄρδις
χρίει μ᾽ ἄπυρος·

874. **διῆλθε**: like *διεῖπε*, *set forth fully*.—**Τιτανὶς Θέμις**: see on 210.

875. **ὅπως, ὅπῃ**: these are joined, to include every possible circumstance. For the ellipsis cp. 915. What Prometheus here passes over, the spectator learns in the *Προμηθεὺς λυόμενος*.

877 ff. As a motive for Io's departure, the poet employs a fresh accession of madness (*οἶστρος*). 'Io primos tantum furoris impetus verbis describit, reliquos vero scena egressa spectatoris imaginationi coniciendos relinquit' (Schütz).—**ἐλελεῦ**: *θρηνῶδες ἐπίφθεγμα*, Schol. *ἐλελεῦ· ἐπιφώνημα πολεμικόν· οἱ δέ, προαναφώνησις παιανισμοῦ· τίθησι δὲ αὐτὸ Αἰσχύλος ἐπὶ σχετλιασμοῦ ἐν Προμηθεῖ δεσμώτῃ*, Hesych. The battle-cry serves to depict the fury of madness.—**ὑπό ... θάλπουσι**: see on 574. In trimeter, Aeschylus nowhere interposes important words, or several words, between preposition and verb, except in *Ag.* 1215 and the doubtful passage *Sept.* 1028. *ὑπό* here implies inception, "begins to burn." For *θάλπειν* cp. *Ag.* 1256 *παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι*, spoken by Casandra, seized with prophetic mania.—**σφάκελος**: *σπασμὸς τοῦ ἐγκεφάλου*, Schol. Cp. Eur. *Hipp.* 1351 *διά μου κεφαλᾶς ᾄσσουσ᾽ ὀδύναι, κατὰ δ᾽ ἐγκέφαλον πηδᾷ σφάκελος*.—**ἄρδις**: *ἀκίς, Αἰσχύλος Προμηθεῖ δεσμώτῃ*, Hesych.

880. **ἄπυρος**: the scholiast explains, *ἡ πολύπυρος διὰ τὸ σφοδρὸν πάθος* (assuming 'alpha intensivum') *ἢ πῦρ μὴ ἔχουσα*. The latter interpretation, in the sense of 'telum igni non admotum, sine igne factum,' was shown to be right by Schütz and Hermann. 'Adiectivo *ἄπυρος* telum metaphorice dictum a proprie sic appellato discrevit Aeschylus' (Schütz). Cp. *Cho.* 493 *πέδαις ἀχαλκεύτοις* (of Clytaemnestra's entangling noose), Frg. 298, 4 *ἄπτεροι πελειάδες* (of the Pleiades), *Ag.* 1258 *δίπους λέαινα* (of Clytaemnestra), *Sept.* 64 *κῦμα χερσαῖον στρατοῦ*, *ibid.* 942 *ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθείς* (the sword), Soph. *Trach.* 874 *βέβηκε Δηιάνειρα τὴν πανυστάτην ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός*, *O. T.* 190 *Ἄρεα ... ὃς νῦν ἄχαλκος ἀσπίδων* (the pest), Eur. Frg. 598 *αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις*, *Iph. T.* 1095 *ἄπτερος ὄρνις*, *Or.* 621 *ὑφῆψε δῶμ᾽ ἀνηφαίστῳ πυρί*.

κραδία δὲ φόβῳ φρένα λακτίζει·
τροχοδινεῖται δ᾽ ὄμμαθ᾽ ἑλίγδην,
ἔξω δὲ δρόμου φέρομαι λύσσης
πνεύματι μάργῳ, γλώσσης ἀκρατής·
θολεροὶ δὲ λόγοι παίουσ᾽ εἰκῇ
στυγνῆς πρὸς κύμασιν ἄτης.

ΧΟΡΟΣ.

στροφή.

ἦ σοφὸς ἦ σοφὸς ὃς

881. **φρένα**: see on 361.—For the conception cp. *Cho.* 165 *ὀρχεῖται δὲ καρδία φόβῳ*, 1025 *πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος, ἡ δ᾽ ὑπορχεῖσθαι κρότῳ*, *Ag.* 996 *πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ*, *Il.* vii. 216 *Ἕκτορί τ᾽ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν.*

882. **τροχοδινεῖται**: cp. *στροφοδινοῦνται*, *Ag.* 51.

883. **ἔξω δρόμου φέρομαι**: (*δρόμος* = *track*) cp. *Cho.* 1022 *ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶ δρόμου ἐξωτέρω· φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι*, *Ag.* 1245 *ἐκ δρόμου πεσὼν τρέχω.* Also Engl. 'be deranged.'

884. **γλώσσης ἀκρατής**: cp. Theogn. 503 *οἰνοβαρέω κεφαλὴν . . . γλώσσης οὐκέτ᾽ ἐγὼ ταμίης ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει*, Lucret. iii. 453, claudicat ingenium, delirat lingua.

885 f. **θολεροί**: Hesych. *θολερόν· ταραχῶδες, ἀκάθαρτον, βορβορῶδες, τεταραγμένον.* Cp. Schol. *Ai.* 206 (*θολερῷ χειμῶνι νοσήσας*). The adjective suggests the mud (*κελαινὰν θῖνα*, Soph. *Ant.* 589) stirred up from the bottom of the sea by the waves. Io's words are like this; they beat against the billows of madness and are tossed by them at random (*εἰκῇ*, corresponding to foregoing *ἀκρατὴς γλώσσης*), so as to be planless and incoherent.—**παίουσι πρὸς κύμασιν**: cp. Eur. *Hec.* 116 *πολλῆς δ᾽ ἔριδος συνέπαισε κλύδων.*

887–906. Third Stasimon. For the dactylo-epitritic rhythms, see on 526. The tranquil reflexions of the chorus contrast agreeably with the turmoil of the preceding scene.

887. **ἦ σοφός**: the scholiast explains that Pittacus is meant, who, when consulted by a man in doubt whether to marry a rich woman, or a poorer one whose rank was the same as his own, directed his questioner to listen to a group of boys who were playing at tops close by. These were heard to cry *τὴν καθ᾽ ἑαυτὸν ἔλαυνε.* An epigram of Callimachus, in Diog. Laert. i. 80, gives *τὴν κατὰ σαυτὸν ἔλα.* Another scholiast compares Pind. *Pyth.* ii. 64 *χρὴ δὲ καθ᾽ αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον, εὐναὶ δὲ παράτροποι ἐς κακότατ᾽ ἀθρόαν ἔβαλον ποτὶ κοῖτον ἰόντα.*—In like manner a proverb is introduced in Soph. *Ant.* 620 *σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται.* Cp. *Ag.* 369 *οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν κτέ.*, 750 *παλαίφατος δ᾽ ἐν βροτοῖς γέρων*

πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διε-
μυθολόγησεν,
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ,
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἐραστεῦσαι γάμων.

ἀντιστροφή.

μήποτε μήποτέ μ', ὦ
⟨πότνιαι⟩ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε
πέλουσαν·
μηδὲ πλαθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ.
ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν
εἰσορῶσ' Ἰοῦς ἀμαλαπτομέναν
δυσπλάνοις Ἥρας ἀλατείαις πόνων.

λόγος τέτυκται, *Cho.* 313 *δράσαντι παθεῖν τριγέρων μῦθος τάδε φωνεῖ.*—On the omission of *ἦν* see Krüger I. § 62, 1, 6.

888. **ἐβάστασε**: *weighed* (by lifting). The scholiast explains by *ἐδοκίμασεν*, and quotes *Od.* xxi. 405 *ἐπεὶ μέγα τόξον ἐβάστασε καὶ ἴδε πάντῃ*. Cp. Ar. *Thesm.* 438 *πάσας δ' ἰδέας ἐξήτασεν, πάντα δ' ἐβάστασεν φρενί*, Polyb. viii. 18 *πᾶν ἐβάστασε πρᾶγμα καὶ πᾶσαν ἐπίνοιαν ἐψηλάφα*.

891 f. **διαθρυπτομένων, μεγαλυνομένων**: the assonance is significant; wealth and birth are equally valueless.

895 f. **εὐνάτειραν . . . πλαθείην**: cp. Soph. *O. T.* 1099 *τίς σ' ἔτικτε τᾶν μακραιώνων ἄρα Πανὸς ὀρεσσιβάτα πατρὸς π ε λ α σ θ ε ῖ σ', ἤ σε' γ' ε ὐ ν ά τ ε ι ρ α Λοξίου;*—**τῶν ἐξ οὐρανοῦ**: as 902 *κρεισσόνων θεῶν*. The preposition *ἐξ* conveys the notion "descending to me from heaven." See on 702.

898. **ἀστεργάνορα παρθενίαν**: '"virginitatem viri sive proci non amantem" ut *φυξανορίᾳ* *Suppl.* v. 9 "procorum fuga." Odium erga Iovem Io ipsa prodiderat v. 759' (Schütz). Cp. *στυγάνορα* 724, *γάμον δυσάνορα* *Suppl.* 1064.

899. **ἀμαλαπτομέναν**: cp. Lycophr. 34 *ἠμάλαψε κάρχαρος κύων*, Hesych. *ἠμαλάψαι· κρύψαι, ἀφανίσαι* (read *ἠμάλαψε· ἔκρυψε, ἠφάνισε*)· *Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ*. Also Photius p. 68, 3 *ἠμάλαπτεν· ἔκρυπτεν, ἠφάνιζεν*, Hesych. *ἀμαλόν· ἁπαλόν, ἀσθενῆ* (Eur. *Heracl.* 75).

900. **δυσπλάνοις ἀλατείαις**: cp. *Ag.* 1136 *κακόποτμοι τύχαι*, *Pers.* 711 *βίοτον εὐαίωνα*, Soph. *O. C.* 716 *εὐήρετμος πλάτα*, *Ai.* 138 *λόγος κακόθρους*, Eur. *Hipp.* 200 *εὐπήχεις χεῖρας.*—**ἀλατείαις πόνων**: for the qualitative force of the attributive genitive see Krüger II. § 47, 5, 2; and cp. Eur. *Iph. A.* 1230 *πόνων τιθηνοὺς ἀποδιδοῦσά σοι τροφάς*, *Bacch.* 1218 *μόχθων* (usually read *μοχθῶν*) *μυρίοις ζητήμασι*, Soph. *Ai.* 888 *τὸν μακρῶν ἀλάταν πόνων*.

ἐπῳδός.

ἐμοὶ δὲ τιόμενος ὁμαλὸς ὁ γάμος ἄφοβος
  [οὐ δέδια] μηδὲ κρεισσόνων θεῶν
  ἔρως ἄφυκτον ὄμμα προσδράκοι με.
ἀπόλεμος ὅδε γ' ὁ πόλεμος, ἄπορα πόριμος·
  οὐδ' ἔχω τίς ἂν γενοίμαν·
τὰν Διὸς γὰρ οὐχ ὁρῶ
  μῆτιν ὅπα φύγοιμ' ἄν.

ΠΡΟΜΗΘΕΥΣ.

ἦ μὴν ἔτι Ζεὺς καίπερ αὐθάδης φρενῶν
ἔσται ταπεινός, οἷον ἐξαρτύεται

901. **ἐμοὶ τιόμενος**: *sc.* ἐστί. Cp. *Pers.* 1000 ἔταφον, οὐκ ἀμφὶ σκηναῖς τροχηλάτοισιν ὄπιθεν ἑπόμενοι (*sc.* εἰσίν), Eur. *Ion* 517 ἡ γὰρ ἀρχὴ τοῦ λόγου πρέπουσά μοι, also *Eum.* 546 ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω.—**ὁμαλὸς ὁ γάμος**: = ὁμαλὸς ὢν ὁ γάμος, "when the union is equal (between equals)."

902 f. **θεῶν ἔρως**: poetical for θεοὶ ἐρῶντες. —**ἄφυκτον ὄμμα** κτέ.: free cognate accus. In place of δέργμα προσδέρκεσθαι is said ὄμμα (= ὄψιν) προσδέρκεσθαι. Cp. *Pers.* 81 λεύσσων δέργμα, 305 πήδημ' ἀφήλατο. For the whole construction (direct object and cognate accusative), cp. Eur. *Phoen.* 293 γονυπετεῖς ἕδρας προσπίτνω σ' ἄναξ, *Or.* 1020 ὥς σ' ἰδοῦσ' ἐν ὄμμασι πανυστάτην πρόσοψιν ἐξέστην φρενῶν. Krüger. II. § 46, 12, 1.

904. **ἀπόλεμος ὁ πόλεμος**: cp. *Ag.* 1142 νόμον ἄνομον, *Eum.* 1033 παῖδες ἄπαιδες, *Pers.* 680 νᾶες ἄναες, Eur. *H. F.* 1133 ἀπόλεμον πόλεμον, Soph. *Ai.* 665 ἄδωρα δῶρα, *El.* 1154 μήτηρ ἀμήτωρ, *O. T.* 1214 ἄγαμος γάμος.—**ἄπορα πόριμος**: the verbal noun πόριμος takes the regimen of its verb, as *Cho.* 23 χοὰς προπομπός, *Pers.* 981 μυρία πεμπαστάν, *Suppl.* 594 τὸ πᾶν μῆχαρ οὔριος Ζεύς, *Ag.* 1090 πολλὰ συνίστορα (στέγην) αὐτόφονα κακά, also *Suppl.* 149 ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω (= ῥυσάσθω), Soph. *Ant.* 787 καί σε φύξιμος (= φεύγειν δύναται), Eur. *Iph. A.* 1255 ἐγὼ τά τ' οἰκτρὰ συνετός εἰμι καὶ τὰ μή, Lys. III. 27 ταῦτα ἔξαρνός ἐστι, [Plat.] *Alc.* II. 141 d ἀνήκοον εἶναι χθιζά τε καὶ πρωϊζὰ γεγενημένα, Plat. *Charm.* 158 c ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα. G. 158, N. 3; H. 713.

905. **τίς ἂν γενοίμαν**: equivalent to the more usual τί ἂν γενοίμαν.

906. Cp. 551, and *Il.* viii. 143 ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο οὐδὲ μάλ' ἴφθιμος, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν, Hesiod *O. D.* 105 οὕτως οὔτι πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.

907–943. First Scene of the Exodos. Prometheus and the Coryphaeus. Preparation of the catastrophe.

907. **ἦ μὴν ἔτι**: cp. 167.—**αὐθάδης φρενῶν**: genitive of relation. Krüger I. § 47, 26, 9; II. § 47, 26, 7.

908. **οἷον**: = ὅτι τοιοῦτον. Cp. *Od.* ii. 239 νῦν δ' ἄλλῳ δήμῳ νεμεσίζομαι,

γάμον γαμεῖν· ὃς αὐτὸν ἐκ τυραννίδος
θρόνων τ' ἄιστον ἐκβαλεῖ· πατρὸς δ' ἀρὰ
Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται,
ἣν ἐκπίτνων ἠρᾶτο δηναιῶν θρόνων.

τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν
δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς.
ἐγὼ τάδ' οἶδα χῷ τρόπῳ. πρὸς ταῦτα νῦν
θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις
πιστὸς τινάσσων τ' ἐν χεροῖν πύρπνουν βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ
πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ' αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα
βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον·

οἷον ἅπαντες ἧσθ' ἄνεῳ, Il. xxii. 346 *αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας*, Eur. *H. F.* 816 *ἆρ' εἰς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου, οἷον φάσμ' ὑπὲρ δόμων ὁρῶ; Ion* 796 *ἀν' ὑγρὸν ἀμπταίην αἰθέρα . . ., οἷον οἷον ἄλγος ἔπαθον*, Ar. *Nub.* 1157 *οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι, οἷος ἐμοὶ τρέφεται*, Hdt. i. 31 *αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν (ἐμακάριζον), οἵων τέκνων ἐκύρησε*, viii. 12 *ἐς φόβον κατιστέατο ἐλπίζοντες πάγχυ ἀπολέεσθαι, ἐς οἷα κακὰ ἧκον.*

910. **ἄιστον ἐκβαλεῖ**: *i.e. ἐκβαλεῖ ὥστε ἄιστον εἶναι.* For *ἄιστος* see on 151.

911. **Κρόνου . . . κρανθήσεται**: alliteration of *κρ-*.

915 f. **πρὸς ταῦτα**: see on 992.— **πεδαρσίοις**: see on 269.

917. **πύρπνουν βέλος**: see on 359. For the contracted form *πύρπνουν* see on 852, and Soph. *Ant.* 224 *δύσπνους ἱκάνω.* In melic passages only *-πνοος* is used.

920. **τοῖον**: demonstratives at the beginning of a sentence often state the cause or reason of what goes before, in Greek as in Latin. Cp. Soph. *Ai.* 560 *οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ . . . τοῖον πυλωρὸν φύλακα Τεῦκρον ἀμφί σοι λείψω.*

921. **ἐπ' αὐτὸς αὐτῳ**: see on 762.

922. **κεραυνοῦ** : *κεραυνός*, ignea coruscatio; *βροντή*, fragor caeli tonantis.

923. **βροντῆς ὑπερβάλλοντα**: *ὑπερβάλλειν* takes the genitive, as a verb of surpassing, here and Plat. *Gorg.* 475 c *ἆρα λύπῃ ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;* also Aristot. *Hist. An.* ii. 11 *πολὺ ὑπερβάλλοντες τῶν περὶ τὰ λοιπὰ ὑπαρχόντων.* Cp. the use of *ὑπερφέρειν* (Soph. *O. T.* 380 *τέχνη τέχνης ὑπερφέρουσα*) and *ὑπερέχειν*

θαλασσίαν τε, γῆς τινάκτειραν νόσον,
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
πταίσας δὲ τῷδε πρὸς κακῷ μαθήσεται
ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

ΧΟΡΟΣ.

σύ θην ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διός.

ΠΡΟΜΗΘΕΥΣ.

ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι λέγω.

ΧΟΡΟΣ.

καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα;

ΠΡΟΜΗΘΕΥΣ.

καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους.

(Plat. *Gorg.* 475 c *οὐκ ἄρα λύπῃ γε ὑπερέχει*, following the words quoted above).

924 f. **θαλασσίαν τρίαιναν**: cp. Eur. *Ion* 282 *πληγαὶ τριαίνης ποντίου.* — **νόσον**: 'ubi Latinis pestis, noxa aut calamitas, ibi Graecis *νόσος* in usu est' (Schütz). Cp. Soph. *Ant.* 418 *καὶ τότ' ἐξαίφνης χθονὸς τυφὼς ἀείρας σκηπτόν, οὐράνιον ἄχος, πίμπλησι πεδίον· . . . μύσαντες δ' εἴχομεν θείαν νόσον.* — According to Pindar *Isthm.* vii. 60 ff., the sagacious Themis, when Zeus and Poseidon sought the hand of Thetis, announced to the gods, *εἵνεκεν πεπρωμένον ἦν φέρτερον γόνον ἂν ἄνακτα πατρὸς τεκεῖν ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Δί γε μισγομέναν ἢ Διὸς παρ' ἀδελφεοῖσιν.* Aeschylus, for the sake of effect, has retained the part of the prophecy relating to Poseidon, although its occasion — the competition of Poseidon for Thetis's hand — is absent from his account. One may understand him to mean that Poseidon's dominion would perish along with Zeus's.

926. **πταίσας τῷδε πρὸς κακῷ**: cp. *Sept.* 210 *νεὼς καμούσης ποντίῳ πρὸς κύματι.*

927. For *τὲ . . . καί* with a word meaning 'differ' or 'different,' cp. Soph. *O. C.* 808 *χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια*, Eur. *Alc.* 528 *χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται*, Xen. *Hier.* i. 2 *πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος.* See Elmsley on Soph. *l.c.*

928. **θήν**: this particle is chiefly epic. Krüg. II. § 69, 38. — **ἐπιγλωσσᾷ**: *prophesy ill, utter ominous words; ἐποιωνίζῃ κατὰ τοῦ Διὸς ἃ βούλει γενέσθαι αὐτῷ*, Schol. So Hesych. *ἐπιγλωσσῶ· ἐποιωνίζου διὰ γλώττης, Αἰσχύλος Ἡρακλείδαις.* Cp. *Cho.* 1044 *μηδ' ἐπιζευχθῇς στόμα φήμῃ πονηρᾷ μηδ' ἐπιγλωσσῶ κακά*, Ar. *Lys.* 37 *περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι τοιοῦτον οὐδέν.*

929. **τελεῖται**: may be either future or present (see on 211). — **πρὸς δέ**: see on 73.

931. **τῶνδε**: *τῶν ἐμῶν.*

ΧΟΡΟΣ.

πῶς δ' οὐχὶ ταρβεῖς τοιάδ' ἐκρίπτων ἔπη;

ΠΡΟΜΗΘΕΥΣ.

τί δ' ἂν φοβοίμην ᾧ θανεῖν οὐ μόρσιμον;

ΧΟΡΟΣ.

ἀλλ' ἆθλον ἄν σοι τοῦδ' ἔτ' ἀλγίω πόροι.

ΠΡΟΜΗΘΕΥΣ.

ὁ δ' οὖν ποιείτω· πάντα προσδοκητά μοι.

ΧΟΡΟΣ.

οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοί.

ΠΡΟΜΗΘΕΥΣ.

σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεί.
ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει.
δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον
ὅπως θέλει· δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς.

932. **ἐκρίπτων**: see on 312.

933. **ᾧ θανεῖν οὐ μόρσιμον**: the thought recurs 1053; in a different relation 753 and Frg. III. of the *Προμηθεὺς λυόμενος* 23 f.

934. Cp. 313.

936. **οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν**: Hesych. *Ἀδραστία· ἡ Νέμεσις.* 'Ad vitandam invidiam Graeci solebant dicere *προσκυνῶ τὴν Νέμεσιν.* Dem. *adv. Aristogit.* I. p. 495 [xxv. 37] *καὶ Ἀδράστειαν μὲν ἄνθρωπος ὢν ἔγωγε προσκυνῶ*, Plat. *Rep.* v. 451 a *προσκυνῶ δὲ Ἀδράστειαν, ὦ Γλαύκων, χάριν οὗ μέλλω λέγειν*' (Giacomelli). Cp. also Eur. *Rhes.* 342 *Ἀδράστεια μὲν ἁ Διὸς παῖς εἴργοι στομάτων φθόνον*, 468 *σὺν δ' Ἀδραστείᾳ λέγω, . . . ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορί*, Alciphr. *Ep.* i. 33 *προσκυνῶ δὲ τὴν Νέμεσιν*, Soph. *Phil.* 776 *τὸν φθόνον δὲ πρόσκυσον.*

937. **σέβου, προσεύχου, θῶπτε**: cp. 392.—**τὸν κρατοῦντ' ἀεί**: = *τὸν ἀεὶ* (*for the time being*) *κρατοῦντα.* Cp. Eur. *Or.* 889 *ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεί*, Ar. *Vesp.* 1318 *κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί*, *Plut.* 1026 *φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί*, Xen. *Cyr.* viii. 5. 16.

938. **ἔλασσον ἢ μηδέν**: cp. Plat. *Theaet.* 179 e *ἧττον αὐτοῖς ἔνι ἢ τὸ μηδέν.* The abstract idea of nothingness is expressed by *μηδέν* (not *οὐδέν*) or *τὸ μηδέν.* Cp. Soph. *Ai.* 1275 *ἤδη τὸ μηδὲν ὄντας*, *El.* 1166 *δέξαι με τὴν μηδὲν εἰς τὸ μηδέν*, Eur. *Cycl.* 355 *ἄλλως νομίζει Ζεὺς τὸ μηδὲν ὢν θεός*, Soph. *Ai.* 1231 *ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ.*

939. **δράτω, κρατείτω**: cp. *Ag.* 1669 *πρᾶσσε, πιαίνου μιαίνων τὴν δίκην, ἐπεὶ πάρα*, Soph. *Ant.* 768 *δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρ' ἰών.*

940. **ἄρξει θεοῖς**: see on 49.

ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν,
τὸν τοῦ τυράννου τοῦ νέου διάκονον,
πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε.

ΕΡΜΗΣ.

σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον,
τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις
πορόντα τιμάς, τὸν πυρὸς κλέπτην λέγω·
πατὴρ ἄνωγέ σ' οὕστινας κομπεῖς γάμους
αὐδᾶν, πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους·
καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως,
ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε· μηδέ μοι διπλᾶς
ὁδούς, Προμηθεῦ, προσβάλῃς· ὁρᾷς δ' ὅτι
Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται.

ΠΡΟΜΗΘΕΥΣ.

σεμνόστομός γε καὶ φρονήματος πλέως
ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου.

941. **ἀλλ' εἰσορῶ γάρ**: cp. Eur. *Hec.* 724 *ἀλλ' εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι.*—**τρόχιν**: Hesych., *τρόχις· ἄγγελος, ἀκόλουθος.* Here, however, a contemptuous designation of the divine messenger, as *διάκονος τοῦ νέου τυράννου.* So throughout the following scene Hermes is treated with lofty disdain by Prometheus. The phrase *Διὸς τρόχις* suffices for the spectators, without mention of the name. *τρόχις* furthermore alludes to Hermes's winged shoes, and it is probable that he is swung from above upon the stage, by means of the *αἰώρημα* (see on 284).

944–1039. Second Scene of the Exodos. Prometheus and Hermes. Development of the catastrophe.

944. **σοφιστήν**: see on 62.—**τὸν πικρῶς ὑπέρπικρον**: see on 328.

945. Cp. 82.

948. **ἐκπίπτει**: see on 171.

949. **μηδὲν αἰνικτηρίως**: cp. 610.

950. **αὔθ' ἕκαστα**: *everything as it really is*, = "explicitly." Cp. Eur. *Phoen.* 494 *ταῦτ' αὔθ' ἕκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς λόγων ἀθροίσας, εἶπον*, *Or.* 1393 *σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τὰν δόμοις.*

952. **τοῖς τοιούτοις**: the Schol. wrongly interprets *τοῖς μὴ πειθομένοις αὐτῷ.* The words are neuter, and refer to the shifts and evasions just mentioned. For *τοϊούτοις* see on 237.

954. Cp. Eur. *Tro.* 424 *ἦ δεινὸς ὁ λάτρις· τί ποτ' ἔχουσι τοὔνομα κήρυκες; ἓν ἀπέχθημα πάγκοινον βροτοῖς οἱ περὶ τυράννους καὶ πόλεις ὑπηρέται.*

νέον νέοι κρατεῖτε καὶ δοκεῖτε δὴ
ναίειν ἀπενθῆ πέργαμ᾽· οὐκ ἐκ τῶνδ᾽ ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην;
τρίτον δὲ τὸν νῦν κοιρανοῦντ᾽ ἐπόψομαι
αἴσχιστα καὶ τάχιστα. μή τί σοι δοκῶ
ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς;
πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω. σὺ δὲ
κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν·
πεύσει γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμέ.

ΕΡΜΗΣ.

τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν
ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας.

ΠΡΟΜΗΘΕΥΣ.

τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν,
σαφῶς ἐπίστασ᾽, οὐκ ἂν ἀλλάξαιμ᾽ ἐγώ.

ΕΡΜΗΣ.

κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ
ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον.

955. **νέον κρατεῖτε**: see on 35.

956. **πέργαμα**: Servius on Verg. *Aen.* i. 95 propter Pergama quae altissima fuerunt: ex quibus omnia alta aedificia pergama vocantur, sicut Aeschylus dicit.

957. **δισσοὺς τυράννους**: Uranus and Cronus.

959. **αἴσχιστα καὶ τάχιστα**: *sc.* *ἐκπίπτοντα.* — The assonance is effective; cp. 480, 691, 891 f., Soph. *Ant.* 1327 *βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά.*

961. **πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω**: cp. 1006. *πολλοῦ γε δεῖ* or *πολλοῦ γε καὶ δεῖ* (*il s'en faut bien*) is a common expression.

962. **ἐγκόνει πάλιν**: a contemptuous expression (cp. *τρόχις*) for simple *ἀναστρέφου.*

963. Cp. Soph. *O. C.* 991 *ἓν γάρ μ᾽ ἄμειψαι μοῦνον ὧν σ᾽ ἀνιστορῶ.* The attraction *οὐδὲν ὧν*, very common in Soph. and Eur., occurs in Aeschylus only here and 984 below.

965. **καθώρμισας**: cp. Eur. *H. F.* 1094 *δεσμοῖς ναῦς ὅπως ὡρμισμένος πρὸς ἡμιθραύστῳ λαΐνῳ τυκίσματι ἧμαι,* Ar. *Thesm.* 1105 *τίν᾽ ὄχθον τόνδ᾽ ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;* The metaphor is further carried out in Frg. III. of *Προμηθεὺς λυόμενος*, 3 navem ut horrisono freto noctem paventes timidi adnectunt navitae.

968 f. **οἶμαι**: ironical. — **τῇδε λα-**

ΠΡΟΜΗΘΕΥΣ.

* * * * * *

οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεών.

ΕΡΜΗΣ.

χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι.

ΠΡΟΜΗΘΕΥΣ.

χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ
ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις λέγω.

ΕΡΜΗΣ.

ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ;

ΠΡΟΜΗΘΕΥΣ.

ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς
ὅσοι παθόντες εὖ κακοῦσί μ' ἐκδίκως.

ΕΡΜΗΣ.

κλύω σ' ἐγὼ μεμηνότ' οὐ σμικρὰν νόσον.

ΠΡΟΜΗΘΕΥΣ.

νοσοῖμ' ἄν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν.

τρεύειν πέτρᾳ: see on 463. The expression is here chosen with reference to the next verse (*φῦναι Ζηνὶ ἄγγελον*). — **πέτρᾳ ἢ πατρί**: the assonance emphasizes the contrast.

970. This verse was preceded by some telling retort to Hermes's taunt *λατρεύειν πέτρᾳ*.

972. Cp. 864, Soph. *Trach.* 819 *τὴν δὲ τέρψιν ἣν τὠμῷ δίδωσι πατρί, τήνδ' αὐτὴ λάβοι*, *Phil.* 794 *Ἀγάμεμνον, ὦ Μενέλαε, πῶς ἂν ἀντ' ἐμοῦ τὸν ἴσον χρόνον τρέφοιτε τήνδε τὴν νόσον;*

973. **καὶ . . . δέ**: *and . . . too.* H. 1042 end; Krüger II. § 69, 41, 2. Cp. Eur. *El.* 1117 *τρόποι τοιοῦτοι· καὶ σὺ δ' αὐθάδης ἔφυς.*

974. **συμφοραῖς**: ob calamitates tuas. For this use of the causal dative, cp. *Cho.* 81 *δακρύω ματαίοισι δεσπόταν τύχαις*, *Eum.* 717 *ἦ καὶ πατήρ τι σφάλλεται βουλευμάτων πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος;* Eur. *Med.* 1286 *πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ τέκνων δυσσεβεῖ*, *Heracl.* 474 *θράσος μοι μηδὲν ἐξόδοις ἐμαῖς προσθῆτε.*

975. **ἁπλῷ λόγῳ**: cp. 46. In Ar. *Av.* 1547 Prometheus expresses the same sentiment, *μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ.*

977. The dialogue becomes stichomythic as the heat of the speakers increases. — **κλύω**: the sense is, "from your speech I perceive that, *etc.*" — **μεμηνότα νόσον**: like *μεμηνότα μανίαν*. Krüger II. § 46, 6.

ΕΡΜΗΣ.

εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς.

ΠΡΟΜΗΘΕΥΣ.

ὤμοι.

ΕΡΜΗΣ.

ὤμοι, τόδε Ζεὺς τοὔπος οὐκ ἐπίσταται.

ΠΡΟΜΗΘΕΥΣ.

ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.

ΕΡΜΗΣ.

καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι.

ΠΡΟΜΗΘΕΥΣ.

σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην.

ΕΡΜΗΣ.

ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατήρ.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν.

ΕΡΜΗΣ.

ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με.

979. Cp. Frg. 294 *κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί.*

980. **ὤμοι, τόδε τοὔπος** : = "*this word ὤμοι.*" Cp. *Pers.* 124 *ὀᾶ, τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων*, *Ag.* 1334 *'μηκέτ' ἐσέλθῃς' τάδε φωνῶν*, *Eum.* 510 *τοῦτ' ἔπος θροούμενος, ἰὼ δίκα.* — Hermes means that Zeus is not moved by lamentations (cp. 952), but Prometheus, in the next verse, takes the statement in a different sense: *κἀκεῖνος οὖν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν*, Schol.

982. **καὶ μήν**: see on 246. — **οὔπω**: said with reference to the preceding sentiment (*ἐκδιδάσκει πάνθ' ὁ χρόνος*).

983. **ὄνθ' ὑπηρέτην**: cp. 942, 954.

985. **ὀφείλων γε**: = *εἰ ὤφειλόν γε.* 'Ich dich ehren? Wofür?' says Goethe's Prometheus. For the optative with *ἄν* after *εἰ ὤφειλον* cp. Isocr. *Paneg.* 102 *εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πραότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν.* Krüger I. § 54, 12, 7; GMT. 443 b.

986. **δῆθεν**: see on 202. — **ὡς παῖδ' ὄντα με**: cp. *Ag.* 277 *παιδὸς νέας ὣς κάρτ' ἐμωμήσω φρένας*, 479 *τίς ὧδε παιδ-*

ΠΡΟΜΗΘΕΥΣ.

οὐ γὰρ σὺ παῖς τε κἄτι τοῦδ' ἀνούστερος,
εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα;
οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ' ὅτῳ
προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε,
πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια.

πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσσα φλόξ,
λευκοπτέρῳ δὲ νιφάδι καὶ βροντήμασι
χθονίοις κυκάτω πάντα καὶ ταρασσέτω·
γνάμψει γὰρ οὐδέν τῶνδέ μ' ὥστε καὶ φράσαι
πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος.

νὸς ἢ φρενῶν κεκομμένος; Il. xx. 200 *Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὣς ἔλπεο δειδίξεσθαι.*

987. **τοῦδε**: *i.e. παιδός.* Cp. Soph. *Ant.* 910 *καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,* Eur. *Hipp.* 914 *οὐ μὴν φίλους γε κἄτι μᾶλλον ἢ φίλους κρύπτειν δίκαιον.*

992. **πρὸς ταῦτα**: often used with the imperative to express unalterable resolution or conviction. "I have spoken; do what you will," or "let what will happen." Cp. 915, 1030, 1043, Soph. *Ant.* 658, Eur. *Med.* 1358, *Hipp.* 304, *Heracl.* 978 *etc.* — **αἰθαλοῦσσα**: cp. Hesiod *Theog.* 707, *αἰθαλόεντα κεραυνόν,* Eur. *Phoen.* 183 *κεραυνῶν τε φῶς αἰθαλόεν.* — For the thought cp. 1043, *Il.* xv. 115 *μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες, τίσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν, εἴπερ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν,* Soph. *Phil.* 1197 *οὐδέποτ' οὐδέποτ', . . . οὐδ' εἰ πυρφόρος ἀστεροπητὴς βροντᾶς αὐγαῖς μ' εἶσι φλογίζων,* Eur. *Phoen.* 521 *πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα, ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων, ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα,* Frg. 688 *πίμπρη, κάταιθε σάρκας, ἐμπλήσθητί μου πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνεισ' εἰς αἰθέρα, πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.*

993. **λευκοπτέρῳ**: cp. Hdt. iv. 31 *οἶκε γὰρ ἡ χιὼν πτεροῖσι, ibid.* 7 *ὑπὸ πτερῶν κεχυμένων.*

994. Cp. Ar. *Pax* 320 *ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω.* — **χθονίοις**: see 1082 f. Cp. Frg. 55 *τυπάνου δ' εἰκὼν ὥσθ' ὑπογαίου βροντῆς φέρεται βαρυταρβής,* Soph. *O. C.* 1606 *κτύπησε μὲν Ζεὺς χθόνιος,* Eur. *Hipp.* 1201 *ἔνθεν τις ἠχώ, χθόνιος ὡς βροντὴ Διός, βαρὺν βρόμον μεθῆκε.* — **κυκάτω**: the subject is *he* (Zeus); so in 1051 below, after *πνεῦμα* and *κῦμα.*

995. **ὥστε καί**: (= *οὕτως ὥστε καί*) implies that the result corresponds in nature with the action which causes it. Cp. Plat. *Phaed.* 66 b *ἀνάγκη ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτ' ἄττα λέγειν,* Soph. *Ai.* 1325 *τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν,* Eur. *Phoen.* 1328 *οὐκ εἰς τόδ' ἦλθον ὥστε καὶ τάδ'*

ΕΡΜΗΣ.

ὅρα νυν εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται.

ΠΡΟΜΗΘΕΥΣ.

ὦπται πάλαι δὴ καὶ βεβούλευται τάδε.

ΕΡΜΗΣ.

τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε
πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν.

ΠΡΟΜΗΘΕΥΣ.

ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν.

εἰσελθέτω σε μήποθ' ὡς ἐγὼ Διὸς
γνώμην φοβηθεὶς θηλύνους γενήσομαι
καὶ λιπαρήσω τὸν μέγα στυγούμενον
γυναικομίμοις ὑπτιάσμασιν χερῶν
λῦσαί με δεσμῶν τῶνδε· τοῦ παντὸς δέω.

εἰδέναι, Hel. 841 *πῶς οὖν θανούμεθ' ὥστε καὶ δόξαν λαβεῖν;* For the thought cp. Hor. *Carm.* iii. 3, 1 iustum et tenacem propositi virum, *etc.*

998. Cp. Schiller *Wallenstein's Tod* IV. 11 'Bedenken Sie doch ja wohl was Sie thun.' 'Bedacht ist schon, was zu bedenken ist.'

999 f. **τόλμησον, τόλμησον ὀρθῶς φρονεῖν**: cp. Horace's sapere aude (*Epist.* i. 2, 40). For the repetition see on 266.

1001. **ὀχλεῖς**: absolute, as in Soph. *O. T.* 446 *παρὼν σύ γ' ἐμποδὼν ὀχλεῖς.* — **κῦμ' ὅπως**: *λαλῶν ὡς πρὸς κῦμα ἀναίσθητον,* Schol. Cp. Eur. *Med.* 28 *ὡς δὲ πέτρος ἢ θαλάσσιος κλύδων ἀκούει νουθετουμένη φίλων, Hipp.* 304 *πρὸς τάδ' αὐθαδεστέρα γίγνου θαλάσσης, Andr.* 537 *τί με προσπίτνεις ἁλίαν πέτραν ἢ κῦμα λιταῖς ὣς ἱκετεύων,* Lycophr. 1452 *εἰς κῦμα κωφὸν βάζω,* Philodem. *Anthol. Pal.* v. 107 *τοῦτ' ἐβόων αἰεὶ καὶ προὔλεγον, ἀλλ' ἴσα πόντῳ Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων,* Ovid. *Met.* xiii. 804 surdior aequoribus.

1005. **γυναικομίμοις**: cp. Soph. Frg. 706 *γυναικομίμοις ἐμπρέπεις ἐσθήμασιν,* Eur. *Bacch.* 980 *ἐν γυναικομίμῳ στολᾷ,* Frg. 185 *γυναικομίμῳ διαπρέπεις μορφώματι.* — **ὑπτιάσμασιν**: in entreaty the ancients raised the hands with palms upwards. Cp. the quotation (*s.v. ὕπτιος*) in Suidas *προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τοὺς πολεμίους,* Verg. *Aen.* iii. 176 tendoque supinas ad caelum cum voce manus, Hor. *Carm.* iii. 23, 1 caelo supinas si tuleris manus. This attitude is seen in the fine statue of the 'praying boy' in the Berlin Museum (Baumeister, *Denkmäler*, p. 591, n. 635).

1006. **τοῦ παντὸς δέω**: cp. 961.

ΕΡΜΗΣ.

λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν·
τέγγει γὰρ οὐδὲν οὐδὲ μαλθάσσει κέαρ
λιταῖς· δακὼν δὲ στόμιον ὡς νεοζυγὴς
πῶλος βιάζει καὶ πρὸς ἡνίας μάχει.
ἀτὰρ σφοδρύνει γ' ἀσθενεῖ σοφίσματι.
αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖζον σθένει.
σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις,
οἷός σε χειμὼν καὶ κακῶν τρικυμία
ἔπεισ' ἄφυκτος· πρῶτα μὲν γὰρ ὀκρίδα
φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ

1007. **πολλὰ καὶ μάτην**: cp. *Eum.* 144 *ἢ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγώ.*

1010. **βιάζει**: = *βίᾳ φέρεις.* Cp. Eur. *Hipp.* 1223 *αἳ δ' ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς βίᾳ φέρουσιν, οὔτι ναυκλήρου χερὸς μεταστρέφουσαι*, *Med.* 242 *μὴ βίᾳ φέρων ζυγόν*, Soph. *El.* 725.

1011. **σφοδρύνει, ἀσθενεῖ**: outward turbulence, but inner powerlessness.

1013. **αὐτὴ καθ' αὑτήν**: that is, *χωρὶς τοῦ καλῶς φρονεῖν.* — **οὐδενὸς μεῖζον σθένει**: 'nulla re est validior, *i.e.* quavis re est infirmior' (Halm). Explanation and confirmation of the foregoing *ἀσθενεῖ.* Cp. Theogn. 411 *οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος, ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις*, Thuc. vii. 71 *οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις*, 85 *πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ*, Dem. I. 27 *ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι*, Plat. *Prot.* 335 a *εἰ τοῦτο ἐποίουν, οὐδενὸς ἂν βελτίων ἐφαινόμην*, Eur. *Andr.* 726 *τἄλλ' ὄντες ἴστε μηδενὸς βελτίονες.* — For the thought cp. Soph. *O. T.* 549 *εἴ τοι νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς.*

1014. **σκέψαι δέ**: the same formula introduces an argument Soph. *O. T.* 584 *σκέψαι δὲ τοῦτο πρῶτον*, Eur. *Suppl.* 476 *σκέψαι δὲ καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος λόγοισιν . . . σφριγῶντ' ἀμείψῃ μῦθον.* Cp. Soph. *Trach.* 1077 *σκέψαι θ' ὁποίας ταῦτα συμφορᾶς ὕπο πέπονθα.*

1015. **χειμών**: cp. 643. For the position of *κακῶν* see on 458. — **τρικυμία**: cp. the Latin decima unda, decumanus fluctus, *Sept.* 760 *κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει, τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει τρίχαλον*, Eur. *Hipp.* 1213 *σὺν κλύδωνι καὶ τρικυμίᾳ*, Plat. *Rep.* 472 a *τὼ δύω κύματε ἐκφυγόντι τὸ μέγιστον καὶ χαλεπώτατον τῆς τρικυμίας ἐπάγεις.*

1016. **ἔπεισ'**: elision of *ι* in the verb-ending *-σι* is rare. — **πρῶτα μέν**: answered by simple *δέ* 1020. Cp. 447. — **ὀκρίδα**: cp. *ὀκριοέσσῃ*, 281.

πατὴρ σπαράξει τήνδε, καὶ κρύψει δέμας
τὸ σόν, πετραία δ' ἀγκάλη σε βαστάσει.
μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου
ἄψορρον ἥξεις ἐς φάος· Διὸς δέ τοι
πτηνὸς κύων δαφοινὸς αἰετὸς λάβρως
διαρταμήσει σώματος μέγα ῥάκος,
ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος,
κελαινόβρωτον δ' ἧπαρ ἐκθοινάσεται.

τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα,
πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων

1019. **πετραία ἀγκάλη**: cp. *Cho.* 586 πόντιαι ἀγκάλαι, Ar. *Ran.* 704 τὴν πόλιν ἔχοντες κυμάτων ἐν ἀγκάλαις, in imitation of Archilochus's verse ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. — **πετραία . . . βαστάσει**: states what is properly only a circumstance (= ἐν πετραίᾳ ἀγκάλῃ βασταζόμενον). Prometheus is to sink, fetters and all, into the bowels of the earth, encircled by the cliff to which he is bound. By this device the poet avoids, at the opening of the Προμηθεὺς λυόμενος, the uninteresting repetition of the binding of Prometheus.

1020. **μακρὸν μῆκος**: cp. Eur. *Or.* 72 μακρὸν δὴ μῆκος χρόνου. μῆκος = spatium, *stretch.*

1021. **τοί**: confirmative, *mark well.*

1022. **κύων**: see on 803.

1023. **διαρταμήσει . . . μέγα ῥάκος**: cp. below, Frg. III. of Προμηθεὺς λυόμενος 10 iam tertio me quoque funesto die tristi advolatu aduncis lacerans unguibus Iovis satelles pastu dilaniat fero. — **μέγα ῥάκος**: gives the result of διαρταμήσει, *tear into great shreds.* So κελαινόβρωτον below. Observe μέγᾱ before ῥ-. ῥ is the only liquid which maintains in post-Homeric poetry both the internal doubling (-ρρ-) and the force of two consonants at the beginning of a word (the after-effect of a dropped initial consonant; ῥάκος = ϝράκος, Aeol. βράκος). The preceding vowel may also (in the thesis) be short; see 713, 992.

1024. **πανήμερος**: not *daily* (for according to the passage just quoted on 1023, the eagle comes tertio quoque die), but διὰ πάσης τῆς ἡμέρας. Cp. the use of πανῆμαρ, πανημέριος in Homer. So Hesiod *Theog.* 523 καὶ οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ ἤσθιεν ἀθάνατον· τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ νυκτὸς, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.

1025. **κελαινόβρωτον**: τὸ μελαινόμενον ἐκ τῆς βρώσεως, Schol. Proleptic. — **ἐκθοινάσεται**: see on 61.

1027. **θεῶν τις διάδοχος** κτέ.: this is really fulfilled, for Heracles offers to Zeus the centaur Chiron (θεὸν Χείρωνα, Soph. *Trach.* 714) as a voluntary (θελήσῃ) substitute for Pro-

φανῇ θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν
Ἅιδην κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη.

πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος
ὁ κόμπος, ἀλλὰ καὶ λίαν ὀρθούμενος·
ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Δῖον, ἀλλὰ πᾶν ἔπος τελεῖ. σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἄμεινον ἡγήσῃ ποτέ.

ΧΟΡΟΣ.

ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται
λέγειν· ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν.
πιθοῦ· σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν.

metheus. See Introd. p. 12. Here, indeed, Hermes announces the contingency as one inconceivable, or hardly to be expected. See on 27.

1029. **ἀμφί**: see on 830, and cp. Hom. *Hymn* ii. 157 *Τιτῆνές τε θεοὶ τοὶ ὑπὸ χθονὶ ναιετάοντες Τάρταρον ἀμφὶ μέγαν* (*somewhere in Tartarus*), Eur. *Andr.* 215 *εἰ δ' ἀμφὶ Θρῄκην . . . τύραννον ἔσχες ἄνδρα* (*in some part of Thrace*). The conception is that of an unknown point inside a given region. This suggests the idea of looking "round about" that region.

1030 f. **πεπλασμένος ὁ κόμπος . . . ὀρθούμενος**: cp. Hdt. vii. 103 *οὕτω μὲν ὀρθοῖτ' ἂν ὁ λόγος . . . εἰ δὲ . . . ὅρα μὴ μάτην κόμπος ὁ λόγος οὗτος εἰρημένος ᾖ*, Thuc. ii. 41 *ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως σημαίνει*, Soph. *O. T.* 828 *ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον;* *Ai.* 354 *οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.* — **καὶ λίαν**: this frequent combination occurs even in Homer. *Od.* i. 46 *καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ*, also xiii. 393, xv. 155.

1032. **ψευδηγορεῖν**: Zeus says, *Il.* i. 526, *οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον ὅ τι κεν κεφαλῇ κατανεύσω.*

1035. **ἄμεινον**: for the neuter cp. *Suppl.* 190 *κρεῖσσον δὲ πύργου βωμός.* G. 138, N. 2 c; H. 617. — **ἡγήσῃ ποτέ**: *be at length convinced* (cp. *ποτέ* in 999). The negation belongs properly only to *αὐθαδίαν εὐβουλίας ἄμεινον*, although *μηδέ* has influenced the mood of *ἡγήσῃ* (for *ἥγησαι*). — For the form of expression, cp. Eur. *Cycl.* 310 *τὸ δ' εὐσεβὲς τῆς δυσσεβείας ἀνθελοῦ.*

1037. The leader of the chorus reiterates the foregoing sentiment. See on 472.

ΠΡΟΜΗΘΕΥΣ.

εἰδότι τοί μοι τάσδ᾽ ἀγγελίας
ὅδ᾽ ἐθώϋξεν, πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ᾽ ἐχθρῶν οὐδὲν ἀεικές.
πρὸς ταῦτ᾽ ἐπ᾽ ἐμοὶ ῥιπτέσθω μὲν
πυρὸς ἀμφήκης βόστρυχος, αἰθὴρ δ᾽
ἐρεθιζέσθω βροντῇ σφακέλῳ τ᾽
ἀγρίων ἀνέμων· χθόνα δ᾽ ἐκ πυθμένων
αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι,
κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ
συγχώσειεν τῶν οὐρανίων
ἄστρων διόδους, εἴς τε κελαινὸν
Τάρταρον ἄρδην ῥίψειε δέμας
τοὐμὸν ἀνάγκης στερραῖς δίναις·
πάντως ἐμέ γ᾽ οὐ θανατώσει.

ΕΡΜΗΣ.

τοιάδε μέντοι τῶν φρενοπλήκτων

1040–1093. The catastrophe. Five anapaestic systems, of which the pair spoken by Prometheus (14 = 14) and the pair spoken by Hermes (9 = 9) correspond in length, while the system of the Coryphaeus forms the mesode.

1040. **εἰδότι μοι**: see on 441.

1042. **ἀεικές**: refers to the reproach in 1039 (*αἰσχρόν*).

1043. Cp. 992, Eur. Frg. 910 *πρὸς ταῦθ᾽ ὅ τι χρὴ καὶ παλαμάσθω καὶ πᾶν ἐπ᾽ ἐμοὶ τεκταινέσθω· τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὸ δίκαιον σύμμαχον ἔσται κοὐ μή ποθ᾽ ἁλῶ κακὰ πράσσων.*

1044. **πυρὸς ἀμφήκης βόστρυχος**: *ἡ ἑλικοειδὴς* (cp. 1083) *τοῦ πυρὸς καταφορά*, Schol. Cp. Cleanth. *Hymn to Zeus* 10 *ἀμφήκη πυρόεντα ἀεὶ ζώοντα κεραυνόν*, Eur. *Hipp.* 559 *βροντᾷ ἀμφιπύρῳ*, Hesych. *ἄμφηκες δὲ, ἐξ ἑκατέρου μέρους ἠκονημένον βέλος, ἢ κεραυνὸς ἢ ξίφος.* Cp. also *Ag.* 306 *φλογὸς μέγαν πώγωνα*, Catull. lxi. 77 viden ut faces splendidas quatiunt comas. *ἀμφήκης* is an Homeric word.

1045. **σφακέλῳ**: *σπασμῷ, συντόνῳ κινήσει*, Schol. Cp. 878.

1047. **αὐταῖς ῥίζαις**: cp. 221 and note.

1049. **συγχώσειεν**: *συγκαλύψειεν*, Schol.

1051. **ῥίψειε**: the subject is *he* (Zeus); so also of *θανατώσει* below. See on 994.

1052. Cp. Eur. *Hec.* 1295 *στερρὰ γὰρ ἀνάγκη.*

1053. **πάντως . . . οὐ**: as in 333. For the thought cp. 933.

βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι.
τί γὰρ ἐλλείπει μὴ οὐ παραπαίειν
ἡ τοῦδ' εὐχή; τί χαλᾷ μανιῶν;
ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις
συγκάμνουσαι ταῖς τοῦδε τόπων
μετά ποι χωρεῖτ' ἐκ τῶνδε θοῶς,
μὴ φρένας ὑμῶν ἠλιθιώσῃ
βροντῆς μύκημ' ἀτέραμνον.

ΧΟΡΟΣ.

ἄλλο τι φώνει καὶ παραμυθοῦ μ'
ὅ τι καὶ πείσεις· οὐ γὰρ δή που
τοῦτό γε τλητὸν παρέσυρας ἔπος.
πῶς με κελεύεις κακότητ' ἀσκεῖν;
μετὰ τοῦδ' ὅ τι χρὴ πάσχειν ἐθέλω·
τοὺς προδότας γὰρ μισεῖν ἔμαθον,
κοὐκ ἔστι νόσος
τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον.

ΕΡΜΗΣ.

ἀλλ' οὖν μέμνησθ' ἁγὼ προλέγω·

1056 f. **τί ἐλλείπει μὴ οὐ παραπαίειν**: *what lacks it of wild delusion?* *ἐλλείπειν* contains a negative notion. Cp. 627, Eur. *Iph. A.* 41 *τῶν ἀπόρων οὐδενὸς ἐνδεὶς μὴ οὐ μαίνεσθαι*, *Tro.* 797 *τίνος ἐνδέομεν μὴ οὐ πανσυδίᾳ χωρεῖν ὀλέθρου διὰ παντός*, Soph. *O. T.* 1232 *λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδεμεν τὸ μὴ οὐ βαρύστον' εἶναι.* GMT. 815, 2; G. 283, 7 N.; H. 1034 b. — For *παραπαίειν* cp. 581, and Frg. 320 *εἶτ' οὖν σοφιστὴς κᾶλα παραπαίων χέλυν*, Ar. *Plut.* 508 *ξυνθιασῶτα τοῦ ληρεῖν καὶ παραπαίειν.* — **εὐχή**: the passage 1043–1052 is meant.

1059. **συγκάμνουσαι**: cp. 414.

1062. **ἀτέραμνον**: cp. 190.

1065. **παρέσυρας**: the proper meaning of *παρασύρω* may be seen from the figure in Ar. *Eq.* 526 *Κρατίνου μεμνημένος ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους.* The expression *παρασύρειν ἔπος* is therefore like *αἰάζειν αὐδήν.* The verb imparts to *ἔπος* a strong notion of reproach, "utter an outrageous speech."

1069 f. Cp. 685. — **ἀπέπτυσα**: on this use of the aorist see Krüger II. § 53, 6, 2; GMT. 60; H. 842.

1071–79. Provision is here made for removing the chorus from the

μηδὲ πρὸς ἄτης θηραθεῖσαι
μέμψησθε τύχην, μηδέ ποτ' εἴπηθ'
ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον
πῆμ' εἰσέβαλεν· μὴ δῆτ', αὐταὶ δ'
ὑμᾶς αὐτάς. εἰδυῖαι γὰρ
κοὐκ ἐξαίφνης οὐδὲ λαθραίως
εἰς ἀπέραντον δίκτυον ἄτης
ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας.

ΠΡΟΜΗΘΕΥΣ.

καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ
χθὼν σεσάλευται·
βρυχία δ' ἠχὼ παραμυκᾶται
βροντῆς, ἕλικες δ' ἐκλάμπουσι
στεροπῆς ζάπυροι, στρόμβοι δὲ κόνιν

orchestra. For them to remount their winged car would impair the effect of the last scene. They sink, at the close, through the *ἀναπίεσμα* (trap-door) of the orchestra, at the moment when Prometheus disappears by the *ἀναπίεσμα* of the stage.

1078 f. **δίκτυον ἄτης**: cp. *Ag.* 361 *γάγγαμον ἄτης παναλώτου.* — **ἀπέραντον**: *impervious.* Cp. *Ag.* 1382 *ἄπειρον ἀμφίβληστρον ὥσπερ ἰχθύων περιστιχίζω, Eum.* 634 *ἐν ἀτέρμονι δαιδάλῳ πέπλῳ.* — At 1079 Hermes soars aloft and disappears.

1080. **ἔργῳ κοὐκέτι μύθῳ**: cp. 336. Stage thunder and lightning the ancients produced by a thunder-machine (*βροντεῖον*) and a lightning-tower (*κεραυνοσκοπεῖον*). Skins filled with heavy stones were rolled on copper plates behind the scene, and a revolving contrivance aloft (*περίακτος ὑψηλή*) emitted flashes of light. The quaking of the earth may have been indicated by the turning of the two *περίακτοι.* The ancients in such things demanded only hints and symbols, not illusions.

1081. The monometer (see on 97) takes the place of a dimeter; see on 1040.

1082. **βρυχία**: Hesych. *βρύχιος· ὑποβρύχιος, i.e. under the surface.* Cp. *Pers.* 397 *ἔπαισαν ἅλμην βρύχιον.* 'Vocabulum *βρύχιος* eo hic significatu dictum est, quo etiam *ὑποβρύχιος* interdum non id quod in aqua demersum est, sed omnino quod est aliqua re obrutum denotat' (Hermann). Accordingly *βρυχία ἠχὼ βροντῆς* means the same as *χθόνια βροντήματα,* 994. With the description cp. Hesiod *Theog.* 705 *τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων· σὺν δ' ἄνεμοί τ' ἔνοσίς τε κονίην ἐσφαράγιζον.*

1083 f. **ἕλικες**: *αἱ ἑλικοειδεῖς (zigzag) κατὰ τὰ νέφη τῶν ἀστραπῶν κινήσεις,* Schol. Cp. 1044. — **ζάπυροι**: cp. *ζαπληθῆ Pers.* 316. — **στρόμβοι**: Hesych. *στρόμβος· δῖνος, συστροφὴ ἀνέ-*

εἱλίσσουσι· σκιρτᾷ δ' ἀνέμων
πνεύματα πάντων εἰς ἄλληλα
στάσιν ἀντίπνουν ἀποδεικνύμενα·
ξυντετάρακται δ' αἰθὴρ πόντῳ.
τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν
τεύχουσα φόβον στείχει φανερῶς.
ὦ μητρὸς ἐμῆς σέβας, ὦ πάντων
αἰθὴρ κοινὸν φάος εἱλίσσων,
ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω.

μου. — **κόνῑν**: for the quantity, cp. *Suppl.* 180 *ὁρῶ κόνῑν ἄναυδον*, *Cho.* 928 *τόνδ' ὄφῑν ἐθρεψάνην*, *Suppl.* 782 *κόνῑς ἄτερθε*, *Cho.* 544 *οὔφῑς ἐμοῖσι.*

1087. **ἀντίπνουν**: as a rule, only the mediae (*β*, *γ*, *δ*) before *λ*, *μ*, *ν* make position in thesis in dramatic poetry. Lengthenings like this in anapaests are found Ar. *Av.* 216 *ἕ̄δρας*, 579 *ἀ̄γρῶν.* — For the contraction see on 917.

1090. **φανερῶς**: belongs with *Διόθεν*, *evidently from Zeus and none other.* *τεύχουσα φόβον* stands in a causal relation to it.

1091. **ὦ μητρὸς ἐμῆς**: *ὦ Γῆ ἢ ὦ Θέμις* (read *ὦ Γῆ Θέμι*, see on 210), Schol. 'In huiusmodi obtestatione eos appellari deos convenit, quorum vis et potestas universam rerum naturam complectitur, *i.e.* caelum et terram, quo quidquid usquam testari insigne facinus possit, uno complexu comprehendatur' (Hermann). Cp. Soph. *El.* 86 *ὦ φάος ἁγνὸν καὶ γῆς ἰσόμοιρ' ἀήρ.* — **σέβας**: cp. *Eum.* 885 *ἀλλ' εἰ μὲν ἁγνόν ἐστί σοι Πειθοῦς σέβας.*

1092. **φάος εἱλίσσων**: cp. Eur. *Phoen.* 3 *Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα*, Theodect. Frg. 10 (p. 805 Nauck) *ὦ καλλιφεγγῆ λαμπάδ' εἱλίσσων φλογός, Ἥλιε.* Here *φάος* is the proper light of the *φαεννὸς αἰθήρ.*

1093. Prometheus sinks into the depths, with the rock on which he hangs (1019).

FRAGMENTS

OF THE

ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ.

I.

(201 Herm., 191 Dind., 190 f. Nauck.)

Arrian *Peripl. Pont. Euxin.* p. 19. Αἰσχύλος ἐν Προμηθεῖ λυομένῳ τὸν Φᾶσιν ὅρον τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν αὐτῷ οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι

Ἥκομεν —
τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,
δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι.

ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον,

τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης
μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.

I. This fragment belonged to the parodos, with which the play (like the *Persians* and the *Supplices*) began. This appears from Procop. *Hist. Goth.* iv. 6, p. 336, 11 ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ γῆς τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης. — The Titans (twelve in number) compose, we see, the chorus of the Προμηθεὺς λυόμενος. They have been released from Tartarus; cp. 219 above, Pind. *Pyth.* iv. 518 λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας· ἐν δὲ χρόνῳ μεταβολαὶ λήξαντος οὔρου, Hesiod *O. D.* 169 τηλοῦ ἀπ' ἀθανάτων τοῖσιν Κρόνος ἐμβασιλεύει. Now they come, like the Oceanids in the Προμηθεὺς δεσμώτης, as sympathizing witnesses of Prometheus's sufferings.

